Οὐχ ἡ προεδρεύουσα φυλὴ τούτου[1] κρατεῖν δύναται (DEM.). — Πρόθυμός εἰμι ποιεῖν ὅ τι ἂν δύνωμαι ἀγαθόν (DEM.). — Λέξω μετὰ παρρησίας· καὶ[2] γὰρ οὐδ'[3] ἂν ἄλλως[4] δυναίμην[5] (DEM.). — Αἰγίδα θυσσανόεσσαν οὐδὲ[6] Διὸς δάμνησι κεραυνός (HOM.). — Ἀλλά, Ζεῦ, μὴ ἔα δάμνασθαι Ἀχαιούς[7] (HOM.). — Σὺ ἡμᾶς ὀνίνης ἀεὶ νουθετῶν (PL.). — Ὁ θεὸς δίκαιά τε καὶ[8] ἀγαθὰ ἠργάζετο, οἱ[9] δὲ ὠνίναντο κολαζόμενοι (PL.). — Δείκνυμι σαφῶς Αἰσχίνην πάντα τὰ ἐναντία[10] τῶν συμφερόντων[11] συμβεβουλευκότα[12] (DEM.). — Ὅλον δεικνύτω τὸν νόμον ἑξῆς, καὶ τὰ συμβαίνοντ' ἐξ αὐτοῦ σκοπεῖν ἐάτω (DEM.). — Λαβὲ τὴν μαρτυρίαν καὶ λέγ' ἐπισχὼν[13] οὗ ἄν σε[14] κελεύω, ἵν' ἐξ αὐτῆς δεικνύω (DEM.). Ποιεῖς ὥσπερ ἂν εἴ τις ἰατρὸς[15] τοῖς κάμνουσιν[16] εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν[17] ἀποφεύξονται[18] τὴν νόσον (DEM.). — Τοῖς παισὶν ἐδείκνυσαν ὅ τι δέοι[19] ποιεῖν (JEN.). — Τοὺς ὅρκους ἔμελλε Φίλιππος ὀμνύναι τοὺς περὶ τῆς εἰρήνης

---

26 Construcción personal. — 27 Temporal. — 28 "(Del tribunal)". — 29 Pospositivo con acento.

40. 1 Genitivo (masculino) con verbo de "mandar". — 2 "Además". 3 "Tampoco". — 4 "(Hablar)". — 5 Potencial. — 6 "Ni aún". — 7 Sujeto paciente. — 8 Lat. *et... et...* — 9 Demostrativo. — 10 Complemento directo. — 11 Neutro. — 12 Completiva participial. — 13 "(Allí)". — 14 (ἐπισχεῖν). — 15 "Como haría un médico que". — 16 Participio. — 17 Falta el antecedente. — 18 Oración de relativo equivalente a consecutiva. —

(Dem.). — Οὐκ ᾤοντο οὐδένα γράψειν ἐναντία[10] τῷ Φιλοκράτους ψηφίσματι, τῷ[20] ἀπολλύντι 'Αμφίπολιν (Dem.). — Διόλλυμαι δορὸς ὑπὸ πολεμίου τυπείς[21] (Ar.). — Μὴ ἀπολλύσθω μηδείς (Dem.). — Οἱ Αἰγύπτιοι[22] φυλακὰς ἔχουσι τῶν αἰελούρων[23], ἀμελήσαντες σβεννύναι τὸ καιόμενον (Her.). Εἶδε πίθον καταγνύμενον οἴνου πλέων[24] (Ar.). — 'Εκ πεύκης κἀγὼ[25] καὶ ξύλων ἐπηγνύμην[26] (Ar.). — Στόρνυ ἐμοὶ λέχος (Ar.).

---

19 Oblicuo. — 20 "(Decreto)". — 21 Causal. — 22 "(Cuando hay gatos amenazados por un incendio)". — 23 Genitivo objetivo. — 24 Acusativo. — 25 "También yo". — 26 Habla una nave.

SEGUNDA PARTE

TROZOS BREVES SOBRE EL MUNDO CLÁSICO



RELATOS MÍTICOS

41.

Urano

(APOLODORO*, *Biblioteca* I 1, 1-3)

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου. Γήμας δὲ Γῆν ἐτέκνωσε πρώτους τοὺς ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Γύην, Κόττον [1], οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν, χεῖρας μὲν ἀνὰ ἑκατόν [2], κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες. Μετὰ τούτους δὲ [3] Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην [1], ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. Ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας εἰς Τάρταρον ἔρριψε (τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅιδου [4], τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα

---

41. * Apolodoro de Atenas, a quien se atribuye esta obra, es un erudito del s. II a. J. C. La atribución es infundada: la *Biblioteca* que conservamos es una colección mitológica de hacia el siglo I ó II d. J. C. [1] Nombres en aposición al acusativo precedente; van en enumeración asindética (súplase un καί ante el último). — [2] Con ἀνά distributivo ("en número de cien cada uno"). — [3] "(Engendró)". — [4] "En (la morada)

ὅσον ἀπ' οὐρανοῦ γῆ), τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας[5] μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας, Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κρεῖον, Ἰαπετόν καὶ νεώτατον ἁπάντων Κρόνον, θυγατέρας[5] δὲ τάς κληθείσας Τιτανίδας, Τηθὺν, Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην, Θείαν[1].

42.

Zeus derrota a los Titanes

(Apolodoro, *Biblioteca* I 2, 1)

Ἐπειδὴ δὲ Ζεὺς ἐγενήθη[1] τέλειος, λαμβάνει Μῆτιν τὴν Ὠκεανοῦ συνεργόν[2], ἣ δίδωσι Κρόνῳ καταπιεῖν[3] φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον[4], ἔπειτα τοὺς παῖδας οὓς κατέπιε· μεθ' ὧν Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον. Μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας[5] ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε. Καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι[6] βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαιναν[7]· οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι[6] Τιτάνων, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς ἑκατόγχειρας κατέστη-

---

de Hades", "en el infierno". Expresión elíptica frecuente. — [5] Predicado del complemento directo: "como hijos", "como hijas".

42. [1] Tardío por ἐγένετο. — [2] Construcción con doble acusativo: "tomó a Metis como...". — [3] Infinitivo final-consecutivo tras un verbo de "dar". — [4] La piedra que Crono había devorado, engañado por Rea, cuando quiso comerse a Zeus. — [5] Cf. 41. — [6] Presente histórico. — [7] El trueno y rayo, el casco que hace invisible y el tridente son las armas y símbolos de Zeus, Hades y Posidón, respectivamente.

σαν φύλακας. Αὐτοὶ δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅιδου.

43.

Prometeo

(APOLODORO, *Biblioteca* I 7, 1)

Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρᾳ Διὸς ἐν νάρθηκι κρύψας[1]. Ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει[2] τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ Σκυθικὸν ὄρος ἐστίν. Ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν[3] ἐδέδετο· καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς ἐνέμετο τοῦ ἥπατος αὐξανομένου διά νυκτός. Καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος[4] δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν.

44.

Ártemis y Apolo

(APOLODORO, *Biblioteca* I 4, 1)

Ἄρτεμις μὲν οὖν τὰ περὶ θήραν[1] ἀσκήσασα παρθένος ἔμεινεν, Ἀπόλλων δὲ τὴν μαντικὴν μαθὼν παρὰ Πανὸς τοῦ[2] Διὸς καὶ Θύμβρεως ἧκεν εἰς Δελφούς, χρησμῳδούσης

---

43. [1] Para sacarlo del cielo. — [2] Depende de προσηλῶσαι. — [3] Acusativo de tiempo. — [4] Depende de δίκην: "del fuego robado", o sea, "del robo del fuego".

44. [1] Equivale a τὴν θήραν. — [2] "El (hijo de)". — [3] Abertura de

τότε Θέμιδος· ὡς δὲ ὁ φρουρῶν τὸ μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ χάσμα[3], τοῦτον ἀνελὼν τό μαντεῖον παραλαμβάνει.

45.

Atenea y Posidón se disputan el dominio del Ática

(Apolodoro, *Biblioteca* III 14, 1)

Κέκροψ αὐτόχθων[1], συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος, τῆς Ἀττικῆς[2] ἐβασίλευσε πρῶτος[3], καὶ τὴν γῆν πρότερον λεγομένην Ἀκτὴν ἀφ'[4] ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν. Ἐπὶ[5] τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος[6]. Ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν[7] ἀκρόπολιν ἀπέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. Μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα[8] ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ δείκνυται. Γενομένης δὲ ἔριδος[9] ἀμφοῖν περὶ τῆς χώρας, Ἀθηνᾷ καὶ Ποσειδῶνι διαλύσας Ζεὺς κριτὰς ἔδωκεν, οὐχ, ὡς εἶπόν τινες, Κέκροπα[10] καὶ Κραναόν, οὐδὲ Ἐρυσίχθονα, θεοὺς δὲ τοὺς δώδεκα. Καὶ τούτων δικαζόντων[9] ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος[11] ὅτι πρώτη τὴν ἐλαίαν

---

la tierra de la que salían vapores mefíticos y junto a la cual profetizaba la Pitia (aunque hoy se duda de la veracidad de la noticia).

45. [1] Adjetivo predicativo; súplase ὤν. — [2] Genitivo con verbo de "reinar". — [3] Predicativo. — [4] "Por", "en recuerdo de". — [5] "En tiempo de". — [6] Concordancia *ad sensum.* — [7] "La parte central de la". — [8] Predicativo. — [9] Genitivo absoluto. — [10] Como los acusativos que siguen, es predicativo con respecto a κριτάς. — [11] Genitivo absoluto causal.

ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ'[4] ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν δὲ θυμῷ ὀργισθεὶς τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησε.

46.

La infancia de Hermes

(LUCIANO*, *Diálogos de los dioses* VII)

ΗΦΑΙΣΤΟΣ. Ἑώρακας, ὦ Ἄπολλον, τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθέν; Ὡς[1] καλόν τέ ἐστι καὶ προσμειδιᾷ πᾶσι καὶ δηλοῖ ἤδη μέγα τι ἀγαθὸν ἀποβησόμενον[2].

ΑΠΟΛΛΩΝ. Ἐκεῖνο τὸ βρέφος, ὦ Ἥφαιστε, ἢ[3] μέγα ἀγαθόν[4], ὃ τοῦ Ἰαπετοῦ πρεσβύτερόν ἐστιν ὅσον ἐπὶ[5] τῇ πανουργίᾳ;

ΗΦ. Καὶ τί ἂν ἀδικῆσαι δύναιτο[6] ἀρτίτοκον ὄν[7];

ΑΠ. Ἐρώτα τόν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν, ἢ τὸν Ἄρη· καὶ[8] τούτου γὰρ ἐξείλκυσε[9] λαθὸν ἐκ τοῦ κολεοῦ τὸ ξίφος, ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε τοῦ τόξου καὶ τῶν βελῶν.

ΗΦ. Τὸ νεογνὸν ταῦτα[10], ὃ μόλις ἕστηκε, τὸ ἐν τοῖς σπαργάνοις;

ΑΠ. Εἴσῃ[11], ὦ Ἥφαιστε, ἤν σοι προσέλθῃ μόνον[12].

ΗΦ. Καὶ μὴν προσῆλθεν ἤδη.

ΑΠ. Τί οὖν; Πάντα ἔχεις τὰ ἐργαλεῖα καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν;

---

46. * Luciano de Samosata, célebre escritor griego del s. II d. J. C. Es conocido, sobre todo, como satírico. — 1 "Cuán", "cómo": se refiere a καλόν y a los dos verbos que siguen. El sujeto de ἐστί es τὸ βρέφος, que va como complemento de ἑώρακας. — 2 Completiva participial. — 3 "Realmente". — 4 "(Es)". — 5 "En cuanto a". — 6 Potencial. — 7 Se espera respuesta negativa. — 8 "También". — 9 El sujeto es τὸ βρέφος. 10 Súplase ἐποίησε. — 11 De οἶδα. — 12 "Con sólo que".

ΗΦ. Πάντα, ὦ Ἄπολλον.

ΑΠ. Ὅμως ἐπίσκεψαι ἀκριβῶς.

ΗΦ. Μὰ Δία, τὴν πυράγραν οὐχ ὁρῶ.

ΑΠ. Ἀλλ' ὄψει που ἐν τοῖς σπαργάνοις αὐτὴν τοῦ βρέφους.

47.

Demeter y Yambe

(APOLODORO, *Biblioteca* I 5, 1)

Πλούτων δὲ Περσεφόνης ἐρασθεὶς Διὸς συνεργοῦντος ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει· μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν, εἰκασθεῖσα δὲ γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα. Καὶ πρῶτον μὲν ἐπὶ τὴν [1] ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον, ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι [2], γραῖά τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιᾶσαι.

48.

Faetonte

(DIODORO*, V 23, 2)

Πολλοὶ γὰρ τῶν τε ποιητῶν καὶ τῶν συγγραφέων φασὶ [1] Φαέθοντα τὸν Ἡλίου μὲν υἱόν, παῖδα δὲ τὴν ἡλικίαν [2] ὄντα,

---

47. [1] Concierta con πέτραν, cuyo predicado es Ἀγέλαστον. — [2] Nótese el anacoluto.

48. * Diodoro de Sicilia, historiador griego del s. I a. J. C. Su *Biblioteca* es una historia universal, que comienza desde la época mítica. — [1] De este verbo dependen todos los infinitivos del trozo (menos παραχωρῆσαι, que depende de πεῖσαι, y κρατεῖν, de δύνασθαι). — [2] Acusativo de

πεῖσαι τὸν πατέρα μίαν ἡμέραν[3] παραχωρῆσαι τοῦ τεθρίππου[4]· συγχωρηθέντος δ' αὐτῷ τούτου[5], τὸν μὲν Φαέθοντα ἐλαύνοντα τὸ τέθριππον μὴ δύνασθαι κρατεῖν τῶν ἡνιῶν[6], τοὺς δ' ἵππους καταφρονήσαντας τοῦ παιδὸς[7] ἐξενεχθῆναι τοῦ συνήθους δρόμου, καὶ τὸ μὲν πρῶτον κατὰ τὸν οὐρανὸν πλανωμένους ἐκπυρῶσαι τοῦτον καὶ ποιῆσαι τὸν νῦν Γαλαξίαν καλούμενον κύκλον, μετὰ δὲ ταῦτα πολλὴν[8] τῆς οἰκουμένης[9] ἐπιφλέξαντας οὐκ ὀλίγην κατακάειν χώραν.

49.

Heracles y la hidra

(Apolodoro, *Biblioteca* II 5, 2)

Δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ[1] τὴν Λερναίαν ὕδραν κτεῖναι· αὕτη δὲ ἐν τῷ Λέρνης ἕλει ἐκτραφεῖσα ἐξέβαινεν εἰς τὸ πεδίον καὶ τά τε βοσκήματα καὶ τὴν χώραν διέφθειρεν. Εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον. Ἐπιβὰς οὖν ἅρματος, ἡνιοχοῦντος Ἰολάου, παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵππους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ τὰς πηγὰς τῆς Ἀμυμώνης, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, βάλλων βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν, ἐκβαίνουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν. Ἡ δὲ θατέρῳ[2] τῶν ποδῶν ἐνείχετο περιπλακεῖσα.

---

relación. — [3] Id. temporal. — [4] Genitivo-ablativo con sentido figurado: "retirarse de una cosa", "ceder a uno una cosa". — [5] Genitivo absoluto; τούτου es neutro, y αὐτῷ, complemento indirecto. — [6] Genitivo con verbo de "regir". — [7] Genitivo con verbo del grupo de "preocuparse" y contrarios. — [8] Atracción de género (por causa de la palabra siguiente). [9] (γῆς).

49. [1] A Heracles. — [2] Depende simultáneamente de los dos verbos

Τῷ ῥοπάλῳ δὲ τὰς κεφαλὰς κόπτων οὐδὲν ἀνύειν ἠδύνατο· μιᾶς γὰρ κοπτομένης κεφαλῆς δύο ἀνεφύοντο. Ἐπεβοήθει δὲ καρκίνος τῇ ὕδρᾳ ὑπερμεγέθης, δάκνων τὸν πόδα. Διὸ τοῦτον ἀποκτείνας [3] ἐπεκαλέσατο καὶ αὐτὸς βοηθόν τὸν Ἰόλαον, ὃς μέρος τι καταπρήσας τῆς ἐγγὺς ὕλης τοῖς δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν κεφαλῶν ἐκώλυεν ἀνιέναι [4]. Καὶ τοῦτον τὸν τρόπον τῶν ἀναφυομένων κεφαλῶν [5] περιγενόμενος, τὴν ἀθάνατον ἀποκόψας κατώρυξε καὶ βαρεῖαν ἐπέθηκε πέτραν, παρὰ τὴν ὁδὸν τὴν φέρουσαν διὰ Λέρνης εἰς Ἐλαιοῦντα· τὸ δὲ σῶμα τῆς ὕδρας ἀνασχίσας τῇ χολῇ τοὺς ὀιστοὺς [6] ἔβαψεν.

50.

Deucalión y Pirra

(Apolodoro, *Biblioteca* I 7, 2)

Προμηθέως δὲ παῖς Δευκαλίων ἐγένετο. Οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων [1] γαμεῖ [2] Πύρραν τὴν [3] Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἠθέλησε γένος [4], ὑποθεμένου [5] Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη

---

siguientes. — [3] Con valor temporal. — [4] "(Las cabezas)". — [5] Genitivo con un verbo de superioridad. — [6] Las flechas de Heracles, para envenenarlas.

50. [1] Genitivo con verbo de "reinar". — [2] Presente histórico. — [3] Súplase θυγατέρα, "hija". — [4] Apolodoro no menciona las razas de hierro y heroica, intermedias, según Hesíodo, entre la de Crono y la humana. —

τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους, ὀλίγων χωρὶς[6] οἳ συνέφυγον εἰς τὰ πλησίον[7] ὑψηλὰ ὄρη. Τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη[8] διέστη, καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ'[9] ἡμέρας ἐννέα καὶ νύκτας τὰς ἴσας[10] τῷ Παρνασσῷ προσίσχει[2], κἀκεῖ[11] τῶν ὄμβρων παῦλαν λαβόντων[5] ἐκβὰς θύει[2] Διὶ Φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἱρεῖσθαι ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καὶ Διὸς εἰπόντος[5] ὑπὲρ κεφαλῆς ἔβαλλεν αἴρων λίθους, καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα, γυναῖκες.

51.

Respeto y Justicia, madres de las ciudades

(PLATÓN*, *Protágoras* 322 A-C)

Κατ' ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δὲ οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ[1] πανταχῇ αὐτῶν[2] ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων[3] πόλεμον ἐνδεής —πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς

---

[5] Genitivo absoluto. — [6] Preposición tras de su régimen. — [7] Adjetivado. — [8] El Osa, el Pelión y el Olimpo. — [9] "Durante". — [10] O sea, nueve. — [11] Crasis.

51. * El célebre filósofo. Vivió del 429 al 347 a. J. C., aproximadamente. — [1] Sustantiviza a εἶναι. — [2] Genitivo de comparación. — [3] Ob-

μέρος πολεμική[4]—. Ἐζήτουν δὴ ἀθροίζεσθαι καὶ σῴζεσθαι κτίζοντες πόλεις· ὅτ' οὖν ἀθροισθεῖεν[5], ἠδίκουν ἀλλήλους ἅτε[6] οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν μὴ[7] ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους Αἰδῶ τε καὶ Δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί.

52.

Níobe

(Apolodoro, *Biblioteca* III 5, 6)

Γαμεῖ δὲ Ζῆθος μὲν Θήβην, ἀφ' ἧς[1] ἡ πόλις Θῆβαι, Ἀμφίων δὲ Νιόβην τὴν Ταντάλου, ἣ γεννᾷ παῖδας μὲν ἑπτά..., θυγατέρας δὲ τὰς ἴσας... Εὔτεκνος δὲ οὖσα Νιόβη, τῆς Λητοῦς[2] εὐτεκνωτέρα εἶπεν ὑπάρχειν[3]· Λητὼ δὲ ἀγανακτήσασα τήν τε Ἄρτεμιν καὶ τὸν Ἀπόλλωνα κατ' αὐτῶν[4] παρώξυνε, καὶ τὰς μὲν θηλείας ἐπὶ τῆς οἰκίας κατετόξευσεν Ἄρτεμις, τοὺς δὲ ἄρρενας κοινῇ πάντας ἐν Κιθαιρῶνι Ἀπόλλων κυνηγετοῦντας ἀπέκτεινεν... Αὐτὴ δὲ Νιόβη Θήβας ἀπολιποῦσα πρὸς τὸν πατέρα Τάνταλον ἧκεν εἰς Σίπυλον, κἀκεῖ Διὶ εὐξαμένη τὴν μορφὴν εἰς λίθον μετέβαλε.

---

jetivo. — [4] "(Es)". — [5] Iterativo. — [6] Da al participio ἔχοντες valor causal. — [7] Depende de δείσας: *timens ne*...

52. [1] "(Recibe su nombre)". — [2] Genitivo (comparativo) de Λητώ. [3] "Ser". — [4] Los hijos de Níobe.

53.

Laomedonte

(APOLODORO, *Biblioteca* II 5, 9)

᾿Απόλλων γὰρ καὶ Ποσειδῶν, τὴν Λαομέδοντος ὕβριν πειρᾶσαι θέλοντες, εἰκασθέντες ἀνθρώποις ὑπέσχοντο ἐπὶ [1] μισθῷ τειχιεῖν τὸ Πέργαμον. Τοῖς [2] δὲ τειχίσασι [3] τὸν μισθὸν οὐκ ἀπεδίδου [4]. Διὰ τοῦτο ᾿Απόλλων μὲν λοιμὸν ἔπεμψε, Ποσειδῶν δὲ κῆτος [5] ἀναφερόμενον ὑπὸ πλημμυρίδος, ὃ τοὺς ἐν τῷ πεδίῳ ἀνήρπαζεν ἀνθρώπους. Χρησμῶν δὲ λεγόντων [6] ἀπαλλαγὴν ἔσεσθαι τῶν συμφορῶν, ἐὰν προθῇ Λαομέδων ῾Ησιόνην τὴν θυγατέρα αὐτοῦ τῷ κήτει βορὰν [7], οὗτος προύθηκε [8] ταῖς πλησίον τῆς θαλάσσης πέτραις προσαρτήσας. Ταύτην ἰδὼν ἐκκειμένην ῾Ηρακλῆς ὑπέσχετο σώσειν, εἰ τὰς ἵππους παρὰ Λαομέδοντος λήψεται ἃς Ζεὺς ποινὴν [9] τῆς Γανυμήδους ἁρπαγῆς ἔδωκε. Δώσειν δὲ Λαομέδοντος εἰπόντος [6], κτείνας τὸ κῆτος ῾Ησιόνην ἔσωσε. Μὴ βουλομένου [4] δὲ τὸν μισθὸν ἀποδοῦναι, πολεμήσειν Τροίᾳ ἀπειλήσας ἀνήχθη [10].

54.

Eteocles y Polinices

(APOLODORO, *Biblioteca* III 6, 1)

᾿Ετεοκλῆς δὲ καὶ Πολυνείκης περὶ τῆς βασιλείας συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτερον [1] παρ᾿ ἐνιαυτὸν ἄρχειν. Τινὲς μὲν οὖν λέγουσι πρῶτον ἄρξαντα

---

53. [1] Indica condición. — [2] Demostrativo. — [3] Concesivo. — [4] El sujeto es Laomedonte. — [5] El monstruo marino fue una serpiente. — [6] Genitivo absoluto. — [7] Predicativo con respecto a ῾Ησιόνην. — [8] A Hesíone. — [9] Predicativo con respecto a τὰς ἵππους. — [10] "(Heracles)".

54. [1] "Cada uno". — [2] El collar y el peplo de Harmonía, con los que

Πολυνείκη παραδοῦναι μετ' ἐνιαυτὸν τὴν βασιλείαν 'Ετεοκλεῖ, τινὲς δὲ πρῶτον 'Ετεοκλέα ἄρξαντα μὴ βούλεσθαι παραδοῦναι τὴν βασιλείαν. Φυγαδευθεὶς οὖν Πολυνείκης ἐκ Θηβῶν ἧκεν εἰς Ἄργος, τόν τε ὅρμον καὶ τὸν πέπλον[2] ἔχων. 'Εβασίλευε δὲ Ἄργους Ἄδραστος ὁ Ταλαοῦ· καὶ τοῖς τούτου βασιλείοις νύκτωρ προσπελάζει, καὶ συνάπτει μάχην Τυδεῖ τῷ Οἰνέως φεύγοντι Καλυδῶνα. Γενομένης δὲ ἐξαίφνης βοῆς ἐπιφανεὶς Ἄδραστος διέλυσεν αὐτούς, καὶ μάντεώς τινος ὑπομνησθεὶς λέγοντος αὐτῷ κάπρῳ[3] καὶ λέοντι[3] συζεῦξαι τὰς θυγατέρας, ἀμφοτέρους εἵλετο νυμφίους· εἶχον γὰρ ἐπὶ τῶν ἀσπίδων ὁ μὲν κάπρου προτομήν, ὁ δὲ λέοντος. Γαμεῖ δὲ Δηιπύλην μὲν Τυδεύς, 'Αργείην δὲ Πολυνείκης, καὶ αὐτοὺς Ἄδραστος ἀμφοτέρους εἰς τὰς πατρίδας ὑπέσχετο κατάξειν. Καὶ πρῶτον ἐπὶ Θήβας ἔσπευδε στρατεύεσθαι, καὶ τοὺς ἀριστέας συνήθροιζεν.

55.

Muerte de Eteocles y Polinices

(APOLODORO, *Biblioteca* III 6, 7-8)

Οὗτος[1] οὖν Θηβαίοις μαντευομένοις εἶπε νικήσειν, ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὑτὸν ἐπιδῷ. Τοῦτο ἀκούσας Μενοικεὺς ὁ Κρέοντος ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξε. Μάχης δὲ γενομένης οἱ Καδμεῖοι μέχρι τῶν τειχῶν συνεδιώχθησαν, καὶ Καπανεὺς ἁρπάσας κλίμακα ἐπὶ τὰ τείχη δι' αὐτῆς ἀνῄει, καὶ Ζεὺς αὐτὸν κεραυνοῖ. Τούτου δὲ γενομένου τροπὴ τῶν 'Αργείων γίνεται. Ὡς δὲ ἀπώλλυντο πολλοί, δόξαν[2] ἑκατέροις τοῖς στρατεύμασιν 'Ετεοκλῆς καὶ

---

sobornó a Erifile para que decidiera a Anfiarao a unirse a la expedición de los Siete contra Tebas. — [3] Depende de συζεῦξαι.

55. [1] El adivino Tiresias. — [2] Acusativo absoluto de un participio neutro: "habiendo parecido bien".

Πολυνείκης περὶ τῆς βασιλείας μονομαχοῦσι, καὶ κτείνουσιν ἀλλήλους.

56.

Meleagro

(APOLODORO, *Biblioteca* I 8, 2-3)

Ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως Μελέαργον, ὃν ἐξ Ἄρεος[1] γεγεννῆσθαί φασι. Τούτου δ' ὄντος ἡμερῶν ἑπτὰ παραγενομένας τὰς Μοίρας φασὶν εἰπεῖν ὅτι τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιόμενος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ. Τοῦτο ἀκούσασα τὸν δαλὸν ἀνείλετο Ἀλθαία καὶ κατέθετο εἰς λάρνακα. Μελέαγρος δὲ ἀνὴρ ἄτρωτος καὶ γενναῖος γενόμενος τόνδε τὸν τρόπον ἐτελεύτησεν. Ἐτησίων καρπῶν[2] ἐν τῇ χώρᾳ γενομένων τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων μόνης Ἀρτέμιδος ἐξελάθετο. Ἡ δὲ μηνίσασα κάπρον ἐφῆκεν ἔξοχον μεγέθει τε καὶ ῥώμῃ, ὃς τήν τε γῆν ἄσπορον ἐτίθει[3] καὶ τὰ βοσκήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειρεν. Ἐπὶ[4] τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσε, καὶ τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ἐπηγγείλατο... Τὸν δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε, δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν· Μελέαγρος δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ δέρας ἔδωκεν Ἀταλάντῃ. Οἱ δὲ Θεστίου παῖδες, ἀδοξοῦντες εἰ παρόντων ἀνδρῶν γυνὴ τὰ ἀριστεῖα λήψεται, τὸ δέρας αὐτῆς ἀφείλοντο, κατὰ γένος[5] αὐτοῖς προσήκειν

---

56. [1] Agente, como si llevara ὑπό. — [2] Depende de τὰς ἀπαρχάς. [3] En el sentido de "hacer, convertir en", construido con doble acusativo. — [4] "Contra". — [5] Eran tíos de Meleagro.

λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο. Ὀργισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν ἧψε, καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν.

57.

Edipo y la esfinge

(DIODORO, IV 64, 3-4)

Μυθολογοῦσι σφίγγα, δίμορφον θηρίον, παραγενομένην εἰς τὰς Θήβας αἴνιγμα προτιθέναι [1] τῷ δυναμένῳ λῦσαι καὶ πολλοὺς ὑπ' αὐτῆς δι' ἀπορίαν [2] ἀναιρεῖσθαι [1]. Προτιθεμένου [3] *δὲ ἐπάθλου φιλανθρώπου* τῷ λύσαντι γαμεῖν τὴν Ἰοκάστην καὶ βασιλεύειν τῶν Θηβῶν, ἄλλον μὲν μηδένα δύνασθαι [1] γνῶναι τὸ προτεθεμένον, μόνον δὲ Οἰδίπουν λῦσαι [1] τὸ αἴνιγμα. Ἦν δὲ τὸ προτεθὲν ὑπὸ τῆς σφιγγὸς τί ἐστι τὸ αὐτὸ [4] δίπουν, τρίπουν, τετράπουν. Ἀπορουμένων δὲ τῶν ἄλλων ὁ Οἰδίπους ἀπεφήνατο ἄνθρωπον εἶναι τὸ προβληθέν [5]· νήπιον μὲν γάρ αὐτὸν ὑπάρχοντα [6] τετράπουν εἶναι [7], αὐξήσαντα δὲ δίπουν, γηράσαντα δὲ τρίπουν, βακτηρίᾳ χρώμενον διὰ τὴν ἀσθένειαν.

---

57. [1] Depende de μυθολογοῦσι. — [2] "Imposibilidad (de resolverlo)". — [3] Forma con los infinitivos γαμεῖν y βασιλεύειν un genitivo absoluto, del cual es un predicado ἐπάθλου φιλανθρώπου. — [4] "Ella misma", "a la vez". — [5] De προβάλλω en el sentido de "proponer (una *dificultad o problema)*". — [6] *En sentido próximo a* "ser" (participio con valor temporal). — [7] Sigue dependiendo de ἀπεφήνατο.

58.

Teseo mata a Damastes

(APOLODORO, *Epítome* I 4)

Ἕκτον[1] ἀπέκτεινε Δαμάστην, ὃν ἔνιοι Πολυπήμονα λέγουσιν. Οὗτος τὴν οἴκησιν ἔχων παρ' ὁδὸν ἐστόρεσε δύο κλίνας, μίαν μὲν μικράν, ἑτέραν δὲ μεγάλην, καὶ τοὺς παριόντας ἐπὶ ξένια[2] καλῶν τοὺς μὲν βραχεῖς ἐπὶ τῆς μεγάλης κατακλίνων σφύραις ἔτυπτεν, ἵν' ἐξισωθῶσι ταῖς κλίναις[3], τοὺς δὲ μεγάλους ἐπὶ τῆς μικρᾶς, καὶ τὰ ὑπερέχοντα τοῦ σώματος ἀπέπριζε.

59.

Juicio de Paris

(PROCLO*, *Crestomatía* p. 102 ed. Allen)

Ζεὺς βουλεύεται[1] μετὰ τῆς Θέμιδος περὶ τοῦ Τρωϊκοῦ πολέμου· παραγενομένη δὲ Ἔρις εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις νεῖκος περὶ κάλλους ἐνίστησιν Ἀθηνᾷ, Ἥρᾳ καὶ Ἀφροδίτῃ, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδῃ[2] κατὰ Διὸς προσταγὴν ὑφ' Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται· καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς[3] τοῖς Ἑλένης[4] γάμοις Ἀλέξανδρος.

---

58. [1] Apolodoro acaba de contar cómo Teseo dio muerte a cinco malhechores. — [2] O sea, para darles hospitalidad, como era costumbre. [3] Alargándose al ser laminados por los martillos.

59. * Seguramente un autor diferente del neoplatónico del s. V d. J. C. Debió de vivir hacia el s. II d. J. C. y su *Crestomatía* constituye un resumen del ciclo épico, es decir, de los poemas épicos, hoy perdidos, otros que la *Ilíada* y la *Odisea*. — [1] En presente, por formar parte del argumento de los *Cantos Ciprios*, que aquí relata Proclo. — [2] Entiéndase ὄντα. — [3] Construido con dativo-instrumental agente: "lleno de deseo por...". — [4] Objetivo.

60.

Aquiles

(APOLODORO, *Biblioteca* III 13, 6)

Ὡς [1] δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον θέλουσα ποιῆσαι τοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρύβουσα τῆς νυκτὸς [2] ἔφθειρεν ὃ ἦν αὐτῷ [3] θνητὸν πατρῷον, μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δέ, ἐπιτηρήσας καὶ σπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς ἐβόησε· καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον τὸν παῖδα ἀπολιποῦσα πρὸς Νηρηίδας ᾤχετο. Κομίζει [4] δὲ τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. Ὁ [5] δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς, καὶ ὠνόμασεν Ἀχιλλέα.

61.

La piedad de Eneas

(DIODORO, VII fr. 4, 1)

Τῆς Τροίας ἁλούσης Αἰνείας μετά τινων καταλαβόμενος μέρος τῆς πόλεως τοὺς ἐπιόντας ἠμύνετο. Τῶν δὲ Ἑλλήνων ὑποσπόνδους τούτους ἀφέντων [1], καὶ συγχωρησάντων ἑκάστῳ λαβεῖν ὅσα δύναιτο τῶν ἰδίων, οἱ μὲν ἄλλοι πάντες ἄργυρον ἢ χρυσὸν ἤ τινα τῆς ἄλλης πολυτελείας ἔλαβον, Αἰνείας δὲ τὸν πατέρα γεγηρακότα τελέως [2] ἀράμενος ἐπὶ τοὺς ὤμους ἐξήνεγκεν.

---

60. [1] Con valor temporal. — [2] Genitivo temporal. — [3] Posesivo. — [4] Presente histórico. — [5] Demostrativo.

61. [1] Después de rendirse los troyanos. — [2] Determina al participio precedente.

62.

Muerte de Orfeo

(LUCIANO, *Al ignorante que compra muchos libros* 11)

Ὅτε τὸν Ὀρφέα διεσπάσαντο αἱ Θρᾷτται, φασὶ[1] τὴν κεφαλὴν αὐτοῦ σὺν τῇ λύρᾳ εἰς τὸν Ἕβρον ἐμπεσοῦσαν ἐκβληθῆναι εἰς τὸν Μέλανα Κόλπον, καὶ ἐπιπλεῖν[2] γε τὴν κεφαλὴν τῇ λύρᾳ, τὴν μὲν[3] ᾄδουσαν θρῆνόν τινα ἐπὶ τῷ Ὀρφεῖ, ὡς λόγος[4], τὴν λύραν δὲ αὐτὴν ὑπηχεῖν τῶν ἀνέμων ἐμπιπτόντων ταῖς χορδαῖς, καὶ οὕτω μετ' ᾠδῆς προσενεχθῆναι[5] τῇ Λέσβῳ, κἀκείνους[6] ἀνελομένους τὴν μὲν κεφαλὴν καταθάψαι, ἵναπερ νῦν τὸ Βακχεῖον αὐτοῖς ἐστι, τὴν λύραν δὲ ἀναθεῖναι εἰς τοῦ Ἀπόλλωνος τὸ ἱερὸν καὶ ἐπὶ πολὺ[7] γε σῴζεσθαι αὐτήν.

63.

Un delfín relata el salvamento de Arión

(LUCIANO, *Diálogos marinos* VIII 2)

Ὁ Περίανδρος, οἶμαι, ἔχαιρεν αὐτῷ[1] καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ[2] τῇ τέχνῃ, ὁ[3] δὲ πλουτήσας παρὰ τοῦ τυράννου ἐπεθύμησε πλεύσας οἴκαδε εἰς τὴν Μήθυμναν ἐπιδείξασθαι τὸν πλοῦτον, καὶ ἐπιβὰς[4] πορθμείου τινὸς κακούργων ἀνδρῶν ὡς[5] ἔδειξε πολὺν ἄγων[6] χρυσόν τε καὶ

---

62. [1] De este verbo dependen todos los infinitivos del trozo. — [2] Como πλεῖν ἐπὶ τῇ λύρᾳ: "navegar (ir) sobre la lira". — [3] La cabeza. — [4] (ἐστί). — [5] La cabeza y la lira. — [6] Crasis por καὶ ἐκείνους. — [7] "Durante mucho tiempo".

63. [1] Arión. — [2] "A causa de". — [3] Demostrativo. — [4] De ἐπιβαίνω, que rige genitivo. — [5] Con valor causal. — [6] Participio predicativo de-

ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένοντο, ἐπιβουλεύουσιν[7] αὐτῷ οἱ ναῦται· ὁ[3] δέ —ἠκροώμην γὰρ ἅπαντα παρανέων τῷ σκάφει— «Επεὶ ταῦτα ὑμῖν δέδοκται» ἔφη «ἀλλά[8] τὴν σκευὴν[9] ἀναλαβόντα[10] με καὶ ᾄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ ἑκόντα ἐάσατε ῥῖψαι ἐμαυτόν». Ἐπέτρεψαν οἱ ναῦται καὶ ἀνέλαβε τὴν σκευὴν καὶ ᾖσε πάνυ λιγυρόν[11], καὶ ἔπεσεν εἰς τὴν θάλατταν ὡς αὐτίκα πάντως ἀποθανούμενος[12]· ἐγὼ δὲ ὑπολαβὼν καὶ ἀναθέμενος αὐτόν ἐξενηξάμην ἔχων εἰς Ταίναρον.

PAISAJES Y PUEBLOS DE GRECIA

64.

Descripción de Atenas

(PSEUDO-DICEARCO*, fr. I 1)

Ἡ δὲ πόλις[1] ξηρὰ πᾶσα, οὐκ εὔυδρος, κακῶς ἐρρυμοτομημένη διὰ τὴν ἀρχαιότητα. Αἱ μὲν πολλαὶ τῶν οἰκιῶν εὐτελεῖς, ὀλίγαι δὲ χρήσιμαι. Ἀπιστηθείη[2] δ' ἂν ἐξαίφνης ὑπό τῶν ξένων θεωρουμένη, εἰ αὕτη ἐστὶν ἡ προσαγορευομένη

---

pendiente de ἔδειξε: "mostró que llevaba". — 7 Presente histórico. — 8 "Pues bien, al menos". — 9 Su vestido de citaredo. — 10 Como los demás participios, es una aposición a με, con valor temporal. — 11 Adverbial. — 12 Final con ὡς subjetivo.

64. * A Dicearco, discípulo de Aristóteles, autor de diversas obras de historia literaria y filosofía y, sobre todo, de una *Vida de Grecia*, ensayo de una historia de la cultura, se atribuyen indebidamente unos fragmentos de descripciones geográficas escritos, según parece, entre 164 y 86 a. J. C. y preservados en un códice de París. — 1 (ἐστί). — 2 Construcción per-

τῶν Ἀθηναίων πόλις· μετ' οὐ πολὺ δὲ πιστεύσειεν ἄν τις. Ὠιδεῖον [1] τῶν ἐν τῇ οἰκουμένῃ κάλλιστον· θέατρον [1] ἀξιόλογον, μέγα καὶ θαυμαστόν· Ἀθηνᾶς ἱερόν [1] πολυτελές, ἄξιον θέας, ὁ καλούμενος Παρθενών [3], ὑπερκείμενον [4] τοῦ θεάτρου· μεγάλην κατάπληξιν ποιεῖ τοῖς θεωροῦσιν· Ὀλύμπιον [1] ἡμιτελὲς μέν, εὐκατάληπτον δ' ἔχον τὴν τῆς οἰκοδομίας ὑπογραφήν, γενόμενον δ' ἂν [5] μέγιστον, εἴπερ συνετελέσθη· γυμνάσια [1] τρία, Ἀκαδημία, Λύκειον, Κυνόσαργες, πάντα κατάδενδρά τε καὶ τοῖς ἐδάφεσι ποώδη [6], φιλοσόφων παντοδαπῶν σχολαί [7], ἑορταὶ [7] παντοδαπαί, ψυχῆς ἀπάται [7] καὶ ἀναπαύσεις πολλαί, θέαι [7] συνεχεῖς.

65.

La acrópolis de Atenas

(Pausanias*, I 22, 4 - 26, 5)

Ἐς δὲ τὴν ἀκρόπολίν ἐστιν ἔσοδος μία· ἑτέραν [1] δὲ οὐ παρέχεται, πᾶσα ἀπότομος οὖσα καὶ τεῖχος ἔχουσα ἐχυρόν. Τὰ δὲ προπύλαια λίθου λευκοῦ [2] τὴν ὀροφὴν ἔχει καὶ κόσμῳ καὶ μεγέθει τῶν λίθων μέχρι γε καὶ ἐμοῦ προεῖχε... τῶν δὲ προπυλαίων ἐν δεξιᾷ Νίκης ἐστὶν Ἀπτέρου ναός. Ἐντεῦθεν ἡ θάλασσά ἐστι σύνοπτος, καὶ ταύτῃ [3] ῥίψας Αἰγεὺς ἑαυτόν, ὡς λέγουσιν, ἐτελεύτησεν... ἔστι δὲ ἐν ἀριστερᾷ

---

sonal. — [3] Aposición a Ἀθηνᾶς ἱερόν. — [4] Concertado con ἱερόν, no con la aposición. El Partenón está en lo alto de la acrópolis; el teatro de Dioniso y el Odeón de Pericles, abajo. — [5] ἄν da matiz irreal (de pasado) al participio de aoristo: "y que habría llegado a ser...". — [6] Adjetivo con un instrumental de relación: "herbosos en cuanto al suelo", "cubiertos de césped". — [7] Nominativos en enumeración asindética.

65. * Vivió en el s. II d. J. C. y escribió una *Descripción de Grecia,* especie de guía turística útil para conocer el arte y las antigüedades helénicas. — [1] (ἔσοδον). — [2] O sea, de mármol. — [3] Adverbio. — [4] Dativo de

τῶν προπυλαίων οἴκημα ἔχον γραφάς... ἐς δὲ τὸν ναὸν ὃν Παρθενῶνα ὀνομάζουσιν, ἐς τοῦτον ἐσιοῦσιν [4] ὁπόσα ἐν τοῖς καλουμένοις ἀετοῖς κεῖται, πάντα ἐς τὴν Ἀθηνᾶς ἔχει [5] γένεσιν, τὰ δὲ ὄπισθεν [6] ἡ Ποσειδῶνος πρὸς Ἀθηνᾶν ἐστιν ἔρις [7] ὑπὲρ τῆς γῆς [8]· αὐτὸ δὲ ἔκ τε ἐλέφαντος τό ἄγαλμα καὶ χρυσοῦ πεποίηται... ἔστι δὲ καὶ οἴκημα [9] Ἐρέχθειον καλούμενον... ἐσελθοῦσι [10] δέ εἰσι βωμοί, Ποσειδῶνος [11] ἐφ' οὗ καὶ [12] Ἐρεχθεῖ θύουσιν ἔκ του μαντεύματος [13], καὶ ἥρωος Βούτου, τρίτος δὲ Ἡφαίστου... καί, διπλοῦν γάρ ἐστι τὸ οἴκημα, ὕδωρ ἐστὶν ἔνδον θαλάσσιον ἐν φρέατι... καὶ τριαίνης ἐστὶν ἐν τῇ πέτρᾳ σχῆμα· ταῦτα δὲ λέγεται Ποσειδῶνι [14] μαρτύρια ἐς τὴν ἀμφισβήτησιν τῆς χώρας φανῆναι.

66.

A orillas del Iliso

(Platón, *Fedro* 230 A-C)

ΣΩΚΡΑΤΗΣ. Ἀτάρ, ὦ ἑταῖρε, μεταξὺ τῶν λόγων [1], ἆρ' οὐ τόδε ἦν τὸ δένδρον ἐφ' ὅπερ ἦγες ἡμᾶς;

ΦΑΙΔΡΟΣ. Τοῦτο μὲν οὖν αὐτό.

---

relación referido a κεῖται y que a su vez va construido con ἐς (dos veces, porque la frase primera se repite con un anafórico): "según se entra en...". — 5 "Se relacionan con...". Se trata de las esculturas del frontón oriental. — 6 "Lo de detrás", es decir, el frontón occidental; es sujeto de ἐστίν. — 7 Con ἡ. — 8 Cf. 45. — 9 "Un templo". — 10 Dativo de relación: "según se entra". — 11 "(Uno) de Posidón". — 12 "También". — 13 "En virtud del oráculo". — 14 "A favor de Posidón". La oración está construida personalmente, siendo ταῦτα el sujeto de φανῆναι y μαρτύρια el predicado nominal; viene a equivaler a Ποσειδῶν ἔφηνε ταῦτα μαρτύρια.

66. 1 "Dicho sea de paso". — 2 Con valor entre modal y causal:

ΣΩ. Νὴ τὴν Ἥραν, καλή γε ἡ καταγωγή· ἥ τε γὰρ πλάτανος αὕτη μάλ' ἀμφιλαφής τε καὶ ὑψηλή, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον, καὶ ὡς[2] ἀκμὴν ἔχει τῆς ἄνθης, ὡς[3] ἂν εὐωδέστατον παρέχοι τὸν τόπον· ἥ τε αὖ πηγὴ[4] χαριεστάτη ὑπὸ τῆς πλατάνου ῥεῖ μάλα ψυχροῦ ὕδατος, ὥστε γε τῷ ποδὶ τεκμήρασθαι. Νυμφῶν τέ τινων καὶ Ἀχελῴου ἱερὸν[5] ἀπό[6] τῶν κορῶν τε καὶ ἀγαλμάτων ἔοικεν εἶναι. Εἰ δ' αὖ βούλει, τὸ εὔπνουν τοῦ τόπου ὡς[7] ἀγαπητὸν καὶ σφόδρα ἡδύ· θερινόν[8] τε καὶ λιγυρὸν[8] ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ.

67.

El túmulo de Maratón

(Pausanias, I 32, 3-4)

Ταύτῃ τῆς Ἀττικῆς ἔσχον[1] οἱ βάρβαροι καὶ μάχῃ τε ἐκρατήθησαν καί τινας, ὡς ἀνήγοντο, ἀπώλεσαν τῶν νεῶν. Τάφος δὲ ἐν τῷ πεδίῳ Ἀθηναίων ἐστίν, ἐπὶ δὲ αὐτῷ στῆλαι τὰ ὀνόματα τῶν ἀποθανόντων κατὰ φυλὰς ἑκάστων[2] ἔχουσαι, καὶ ἕτερος Πλαταιεῦσι Βοιωτῶν[3] καὶ δούλοις... ἐνταῦθα ἀνὰ πᾶσαν νύκτα καὶ ἵππων χρεμετιζόντων καὶ ἀνδρῶν μαχομένων[4] ἔστιν αἰσθέσθαι.

"según como". — [3] ὡς va con el superlativo: "lo más oloroso posible". — [4] La fuente del Iliso. — [5] Referido a (ὕδωρ). El genitivo, emparentado con el posesivo, se emplea para indicar a quién está consagrada una cosa. — [6] "A juzgar por". — [7] ὡς en una oración exclamativa: "(mira) qué agradable es...". — [8] Acusativo adverbial.

67. [1] "Echaron anclas", "arribaron". — [2] "Según la tribu de cada uno"; son plurales distributivos. — [3] Genitivo partitivo dependiente de Πλαταιεῦσι. — [4] Genitivos dependientes de un verbo de percepción.

68.

Corinto

(ESTRABÓN*, VIII 6, 20-21)

Ὁ δὲ Κόρινθος ἀφνειὸς μὲν λέγεται διὰ τὸ ἐμπόριον, ἐπὶ τῷ Ἰσθμῷ κείμενος[1] καὶ δυεῖν λιμένων κύριος, ὧν ὁ μὲν τῆς Ἀσίας, ὁ δὲ τῆς Ἰταλίας ἐγγύς ἐστι· καὶ ῥᾳδίας ποιεῖ τὰς ἑκατέρωθεν ἀμοιβὰς τῶν φορτίων πρὸς ἀλλήλους τοῖς τοσοῦτον ἀφεστῶσιν[2]... Τὴν δὲ τοποθεσίαν τῆς πόλεως... τοιάνδε εἶναι συμβαίνει· ὄρος ὑψηλόν... εἰς ὀξεῖαν τελευτᾷ κορυφήν· καλεῖται δὲ Ἀκροκόρινθος, οὗ[3] τὸ μὲν πρὸς ἄρκτον μέρος ἐστὶ τὸ μάλιστα ὄρθιον, ὑφ' ᾧ κεῖται ἡ πόλις ἐπὶ τραπεζώδους ἐπιπέδου χωρίου πρός αὐτῇ τῇ ῥίζῃ τοῦ Ἀκροκορίνθου... ἀπὸ δὲ τῶν ἄλλων μερῶν ἧττον ὄρθιόν ἐστι τὸ ὄρος, ἀνατέταται μέντοι ἐνθένδε ἱκανῶς, καὶ περίοπτόν ἐστιν. Ἡ μὲν οὖν κορυφὴ ναΐδιον ἔχει Ἀφροδίτης, ὑπὸ δὲ τῇ κορυφῇ τὴν Πειρήνην εἶναι συμβαίνει κρήνην, ἔκρυσιν μὲν οὐκ ἔχουσαν, μεστὴν δ' ἀεὶ διαυγοῦς καὶ ποτίμου ὕδατος.

69.

Micenas

(PAUSANIAS, II 16, 5-6)

Μυκήνας δὲ Ἀργεῖοι καθεῖλον ὑπὸ ζηλοτυπίας. Ἡσυχαζόντων γὰρ τῶν Ἀργείων κατὰ τὴν ἐπιστρατείαν τοῦ Μή-

---

68. * Geógrafo e historiador griego nacido en Amasia, en el Ponto (64/63 a. J. C. — 21 d. J. C., aproximadamente). Se conserva su *Geografía* en diecisiete libros. — [1] Participio con valor causal, así como el ὤν que hay que suplir junto a κύριος. — [2] Depende de ποιεῖ (dat. *commodi*). — [3] Genitivo pertinentivo dependiente de μέρος.

δου[1], Μυκηναῖοι πέμπουσιν εἰς Θερμοπύλας ὀγδοήκοντα ἄνδρας, οἳ Λακεδαιμονίοις μετέσχον τοῦ ἔργου· τοῦτο ἤνεγκεν ὄλεθρόν σφισι τὸ φιλοτίμημα παροξῦναν[2] Ἀργείους. Λείπεται δὲ ὅμως ἔτι καὶ ἄλλα τοῦ περιβόλου καὶ ἡ πύλη, λέοντες δὲ ἐφεστήκασιν αὐτῇ· Κυκλώπων δὲ καὶ ταῦτα ἔργα εἶναι λέγουσιν, οἳ Προίτῳ τὸ τεῖχος ἐποίησαν ἐν Τίρυνθι. Μυκηνῶν δὲ ἐν τοῖς ἐρειπίοις κρήνη τέ ἐστι καλουμένη Περσεία καὶ Ἀτρέως καὶ τῶν παίδων ὑπόγαια οἰκοδομήματα, ἔνθα οἱ θησαυροί σφισι τῶν χρημάτων ἦσαν. Τάφος δὲ ἔστι μὲν Ἀτρέως, εἰσὶ δὲ καὶ ὅσους[3] σὺν Ἀγαμέμνονι ἐπανήκοντας ἐξ Ἰλίου δειπνίσας κατεφόνευσεν Αἴγισθος.

70.

Argos

(ESTRABÓN, VIII 6, 7)

Ἡ μὲν οὖν πόλις ἡ τῶν Ἀργείων ἐν χωρίοις ἐπιπέδοις ἵδρυται τὸ πλέον[1], ἄκραν δ' ἔχει τὴν καλουμένην Λάρισαν, λόφον[2] εὐερκῆ μετρίως ἔχοντα ἱερὸν Διός· ῥεῖ δ' αὐτῆς πλησίον ὁ Ἴναχος χαραδρώδης ποταμὸς τὰς πηγὰς ἔχων ἐκ[3] Λυρκείου.

---

69. [1] Jerjes. — [2] Participio concertado con τοῦτο... τὸ φιλοτίμημα. — [3] Falta un antecedente como πάντων.

70. [1] Adverbial: "principalmente". — [2] Aposición a ἄκραν. — [3] Se esperaría ἐν Λυρκείῳ; se emplea ἐκ porque subyace la idea de que el río corre desde allí.

71.

El Asclepieo de Epidauro

(PAUSANIAS, II 27, 1-3)

Τὸ δὲ ἱερὸν ἄλσος τοῦ ᾿Ασκληπιοῦ περιέχουσιν ὅροι πανταχόθεν· οὐδὲ ἀποθνήσκουσιν ἄνθρωποι οὐδὲ τίκτουσιν αἱ γυναῖκές σφισιν[1] ἐντὸς τοῦ περιβόλου, καθὰ καὶ ἐπὶ Δήλῳ τῇ νήσῳ... τοῦ δὲ ᾿Ασκληπιοῦ τὸ ἄγαλμα μεγέθει[2] μὲν τοῦ ᾿Αθήνησιν ᾿Ολυμπίου Διὸς[3] ἥμισυ ἀποδεῖ, πεποίηται δὲ ἐλέφαντος καὶ χρυσοῦ... τοῦ ναοῦ δέ ἐστι πέραν, ἔνθα[4] οἱ ἱκέται τοῦ θεοῦ καθεύδουσιν. Οἴκημα δὲ περιφερὲς λίθου λευκοῦ, καλούμενον θόλος, ᾠκοδόμηται πλησίον, θέας ἄξιον.

72.

Esparta

(TUCÍDIDES*, I 10, 2)

Λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κατασκευῆς τὰ ἐδάφη, πολλὴν ἂν[1] οἶμαι ἀπιστίαν τῆς δυνάμεως προελθόντος πολλοῦ χρόνου[2] τοῖς

---

71. [1] Dativo simpatético; indica el interés de los epidaurios en estas prohibiciones. — [2] Dativo-instrumental de relación: "por el tamaño". — [3] Depende de ἀποδεῖ; con verbos de idea comparativa se emplea este genitivo más un acusativo que indica la distancia o diferencia. — [4] Falta el antecedente: "(un edificio) donde...".

72. * Famoso historiador ateniense (460-400 a. J. C., aproximadamente). Es autor de una *Historia de la guerra del Peloponeso.* — [1] Va con εἶναι, infinitivo al que da valor potencial; a su vez depende de οἶμαι. — [2] Genitivo absoluto. — [3] Súplase μοιρῶν; depende de μοίρας,

ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι· καίτοι Πελοποννήσου τῶν πέντε [3] τὰς δύο μοίρας νέμονται τῆς τε ξυμπάσης [4] ἡγοῦνται καὶ τῶν ἔξω ξυμμάχων πολλῶν· ὅμως δέ, οὔτε ξυνοικισθείσης πόλεως οὔτε ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης [5], κατὰ κώμας δὲ τῷ παλαιῷ τῆς Ἑλλάδος τρόπῳ οἰκισθείσης [5], φαίνοιτ' ἂν ὑποδεεστέρα· Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων [6] διπλασίαν ἂν τὴν δύναμιν εἰκάζεσθαι [7] ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως ἢ ἔστιν.

73.

El Zeus de Fidias en Olimpia

(Estrabón, VIII 3, 30)

Ἐκοσμήθη δ' ἐκ [1] τοῦ πλήθους τῶν ἀναθημάτων, ἅπερ ἐκ πάσης ἀνετίθετο τῆς Ἑλλάδος... μέγιστον δὲ τούτων ὑπῆρξε τὸ τοῦ Διὸς ξόανον, ὃ ἐποίει Φειδίας Χαρμίνου Ἀθηναῖος ἐλεφάντινον [2], τηλικοῦτον τὸ μέγεθος, ὡς [3], καίπερ μεγίστου ὄντος τοῦ νεώ, δοκεῖν ἀστοχῆσαι τῆς συμμετρίας τὸν τεχνίτην, καθήμενον ποιήσαντα [4], ἁπτόμενον δὲ σχεδόν τι τῇ κορυφῇ τῆς ὀροφῆς [5], ὥστ' ἔμφασιν ποιεῖν [6], ἐὰν ὀρθὸς γένηται διαναστάς, ἀποστεγάσειν τὸν νεών.

---

y de él a su vez Πελοποννήσου. — [4] (Πελοποννήσου). — [5] Genitivo absoluto (sujeto πόλεως). — [6] Genitivo subjetivo, dependiente de δύναμιν. — [7] Va con ἄν (cf. nota 1); hay que suplir οἶμαι.

73. [1] Con valor causal: "con", "gracias a". — [2] Segundo acusativo dependiente de ἐποίει. — [3] Inicia una consecutiva con infinitivo. — [4] Concuerda con τεχνίτην y lleva por complemento predicativo a καθήμενον (τὸν Δία). — [5] Genitivo con un verbo de "alcanzar" (antiguo partitivo). [6] ἔμφασιν ποιεῖν funciona como un verbo único construido con infinitivo.

74.

Otra descripción del mismo

(PAUSANIAS, V 11, 1-2)

Καθέζεται μὲν δὴ ὁ θεὸς ἐν θρόνῳ χρυσοῦ πεποιημένος καὶ ἐλέφαντος· στέφανος δ' ἐπίκειταί οἱ [1] τῇ κεφαλῇ μεμιμημένος ἐλαίας κλῶνας· ἐν μὲν δὴ τῇ δεξιᾷ φέρει Νίκην ἐξ ἐλέφαντος καὶ [2] ταύτην καὶ χρυσοῦ, ταινίαν τε ἔχουσαν [3] καὶ ἐπὶ τῇ κεφαλῇ στέφανον· τῇ δὲ ἀριστερᾷ τοῦ θεοῦ χειρὶ ἔνεστι σκῆπτρον μετάλλοις τοῖς πᾶσιν ἠνθισμένον, ὁ δὲ ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενός ἐστιν ὁ ἀετός. Χρυσοῦ δὲ καὶ τὰ ὑποδήματα τῷ θεῷ καὶ ἱμάτιον ὡσαύτως ἐστί· τῷ δὲ ἱματίῳ ζῴδιά τε καὶ τῶν ἀνθῶν τὰ κρίνα ἐστὶν ἐμπεποιημένα· ὁ δὲ θρόνος ποικίλος μὲν χρυσῷ καὶ λίθοις, ποικίλος δὲ καὶ ἐβένῳ τε καὶ ἐλέφαντί ἐστι· καὶ ζῷά τε ἐπ' αὐτοῦ γραφῇ μεμιμημένα καὶ ἀγάλματά ἐστιν εἰργασμένα.

75.

Las estatuas de Hera y Hermes de Olimpia

(PAUSANIAS, V 17, 1-3)

Τῆς Ἥρας [1] δέ ἐστιν ἐν τῷ ναῷ Διός [2], τὸ δὲ Ἥρας ἄγαλμα καθήμενόν ἐστιν ἐπὶ θρόνῳ, παρέστηκε [3] δὲ γένειά τε ἔχων καὶ ἐπικείμενος [4] κυνῆν ἐπὶ τῇ κεφαλῇ... χρόνῳ [5] δὲ

---

74. [1] Dativo del reflexivo. Como el siguiente, este dativo depende de ἐπίκειται. — [2] "También". — [3] Concierta con Νίκην.

75. [1] Depende de ἐν τῷ ναῷ. — [2] (ἄγαλμα). — [3] Al lado de la imagen de Hera, la de Zeus. — [4] Este verbo se usa como pasiva de ἐπιτίθημι, que se construye con dos acusativos; de ahí el acusativo de cosa κυνῆν que se mantiene al poner el verbo en pasiva. — [5] "Con el

ὕστερον καὶ ἄλλα ἀνέθεσαν ἐς τὸ Ἡραῖον, Ἑρμῆν λίθου, Διόνυσον δὲ φέρει νήπιον, τέχνη δέ ἐστι Πραξιτέλους [6].

76.

Arcadia

(Estrabón, VIII 8, 1)

Ἀρκαδία δ' ἐστὶν ἐν μέσῳ μὲν τῆς Πελοποννήσου, πλείστην δὲ χώραν ὀρεινὴν [1] ἀποτέμνεται [2]. Μέγιστον δ' ὄρος ἐν αὐτῇ [3] Κυλλήνη... βοσκήμασι δ' εἰσὶ νομαὶ δαψιλεῖς, καὶ μάλιστα ἵπποις καὶ ὄνοις τοῖς ἱπποβάτοις· ἔστι δὲ καὶ τὸ γένος τῶν ἵππων ἄριστον τὸ Ἀρκαδικόν, καθάπερ καὶ τὸ Ἀργολικὸν καὶ τὸ Ἐπιδαύριον.

77.

Delfos

(Estrabón, IX 3, 3)

Εἴρηται δ' ὅτι καὶ ὁ Παρνασσὸς ἐπὶ τῶν ἑσπερίων ὅρων ἵδρυται τῆς Φωκίδος. Τούτου δὴ τὸ μὲν πρὸς δύσιν πλευρὸν οἱ Λοκροὶ κατέχουσιν οἱ Ὀζόλαι, τὸ δὲ νότιον οἱ Δελφοί [1], πετρῶδες χωρίον θεατροειδές, κατὰ κορυφὴν ἔχον τὸ μαντεῖον καὶ τὴν πόλιν... πρόκειται δὲ τῆς πόλεως [2] ἡ Κίρφις ἐκ τοῦ νοτίου μέρους, ὄρος ἀπότομον, νάπην ἀπολιπὸν μεταξύ, δι' ἧς ὁ Πλεῖστος διαρρεῖ ποταμός.

---

tiempo". — [6] Esta estatua ha aparecido intacta en las excavaciones y se conserva en el museo de Olimpia.

76. [1] Predicativo. — [2] Voz media, porque se trata de su territorio. [3] (ἐστί).

77. [1] El lugar, no los habitantes, como se ve por lo que sigue. — [2] Depende de ἐκ τοῦ... μέρους.

78.

El oráculo de Delfos

(ESTRABÓN, IX 3, 6)

Ἡ μὲν οὖν ἐπὶ τό πλεῖον[1] τιμὴ τῷ ἱερῷ τούτῳ διά τὸ χρηστήριον συνέβη δόξαντι[2] ἀψευδεστάτῳ[3] τῶν πάντων ὑπάρξαι, προσέλαβε δέ τι καὶ ἡ θέσις τοῦ τόπου. Τῆς γάρ Ἑλλάδος ἐν μέσῳ πώς ἐστι τῆς συμπάσης... ἐνομίσθη δὲ καὶ τῆς οἰκουμένης, καὶ ἐκάλεσαν τῆς γῆς ὀμφαλόν.

79.

El templo délfico de Apolo

(PAUSANIAS, X 24, 1)

Ἐν δὲ τῷ προνάῳ τῷ ἐν Δελφοῖς γεγραμμένα ἐστὶν ὠφελήματα ἀνθρώποις ἐς βίον· ἐγράφη δὲ ὑπὸ ἀνδρῶν οὓς γενέσθαι σοφοὺς λέγουσιν Ἕλληνες... οὗτοι οὖν οἱ ἄνδρες ἀφικόμενοι ἐς Δελφοὺς ἀνέθεσαν τῷ Ἀπόλλωνι τά ᾀδόμενα «Γνῶθι σαυτόν» καὶ «Μηδὲν ἄγαν».

80.

El teatro de Delfos

(PAUSANIAS, X 32, 1)

Τοῦ περιβόλου[1] δὲ τοῦ ἱεροῦ θέατρον ἔχεται θέας ἄξιον... στάδιον δέ σφισιν[2] ἀνωτάτω τῆς πόλεως τοῦτό

78. [1] "En mayor medida"; equivale a πλείστη. — [2] Referido a ἱερῷ, aunque iría mejor con χρηστήριον. — [3] Predicado nominal con ὑπάρξαι.

80. [1] Genitivo con verbos que indican contacto, etc. (antiguo partitivo). — [2] Dativo posesivo. — [3] "(Que es tal) cuales...". El relativo ὁποῖαι

ἐστιν· ἐπεποίητο δὲ ἐκ τῆς πέτρας, ὁποῖαι[3] περὶ τὸν Παρνασσόν εἰσιν αἱ πολλαί.

81.

El valle de Tempe

(ELIANO*, *Historias varias* III 1)

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη[1] τά Θετταλικά διαγράψωμεν τῷ λόγῳ... Ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης. Ὄρη δὲ ταῦτά ἐστιν ὑπερύψηλα καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται[2] χωρίον, οὗ τό μέν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σταδίους[3], τό γε μὲν πλάτος τῇ μέν ἐστι πλέθρου, τῇ δὲ[4] καὶ μεῖζον ὀλίγῳ. Διαρρεῖ καὶ μέσου αὐτοῦ[5] ὁ καλούμενος Πηνειός· εἰς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συρρέουσι καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν[6]. Διατριβὰς[7] δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα[8] εἰς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος.

---

está ligado libremente al antecedente πέτρας, porque se piensa, con respecto a esta palabra, en la acepción plural "clases de roca".

81. * Eliano de Preneste, que vivió en los siglos II y III d. J. C. y recogió una serie de anécdotas sobre diferentes temas (*Historias varias*) y otras sobre animales (*Historia de los animales*). — [1] Plural. — [2] "Dejan". — [3] El estadio mide 178 m. y el pletro 30. — [4] En correlación con τῇ μέν: "en una parte..., en otra". — [5] Depende de διαρρεῖ (como si fuera ῥεῖ διά...). — [6] Predicativo. — [7] "Lugares". — [8] Va con ἔργα.

82.

Mitilene

(Longo*, *Dafnis y Cloe* I 1)

Πόλις ἐστὶ τῆς Λέσβου Μιτυλήνη, μεγάλη καὶ καλή· διείληπται γὰρ εὐρίποις[1] ὑπεισρεούσης τῆς θαλάσσης[2], καὶ κεκόσμηται γεφύραις[1] ξεστοῦ καὶ λευκοῦ λίθου. Νομίσαις[3] οὐ πόλιν ὁρᾶν, ἀλλὰ νῆσον. Ταύτης τῆς πόλεως τῆς Μιτυλήνης[4] ὅσον ἀπὸ[5] σταδίων διακοσίων ἀγρὸς ἦν ἀνδρὸς εὐδαίμονος, κτῆμα κάλλιστον· ὄρη θηροτρόφα, πεδία πυροφόρα, γήλοφοι κλημάτων[6], νομαὶ ποιμνίων[6]· καὶ ἡ θάλασσα προσέκλυζεν ἠιόνι ἐκτεταμένῃ ψάμμου μαλθακῆς.

83.

Rodas

(Estrabón, XIV 2, 5)

Ἡ δὲ τῶν Ῥοδίων πόλις κεῖται μὲν ἐπὶ τοῦ ἑωθινοῦ ἀκρωτηρίου, λιμέσι δὲ καὶ ὁδοῖς καὶ τείχεσι καὶ τῇ ἄλλῃ κατασκευῇ τοσοῦτον διαφέρει τῶν ἄλλων, ὥστ' οὐκ ἔχομεν εἰπεῖν ἑτέραν, ἀλλ' οὐδὲ πάρισον, μή τί[1] γε κρείττω ταύτης τῆς πόλεως. Θαυμαστὴ δὲ καὶ ἡ εὐνομία καὶ ἡ ἐπιμέλεια πρός τε τὴν ἄλλην πολιτείαν καὶ τὴν περὶ τὰ ναυτικά, ἀφ' ἧς[2] ἐθαλαττοκράτησε πολὺν χρόνον καὶ τὰ ληστή-

---

82. * Vivió probablemente en Lesbos en el siglo III d. J. C. Es autor de la novela pastoril *Dafnis* y *Cloe*. — 1 Dativo agente con un perfecto pasivo. — 2 No genitivo agente, sino de materia o contenido, dependiente de εὐρίποις. — 3 Potencial (debería llevar ἄν). — 4 En aposición al genitivo precedente; el conjunto es un genitivo ablativo que depende de σταδίων διακοσίων. — 5 "A una distancia de". — 6 Genitivo de contenido.

83. 1 "No ya". — 2 "Gracias a la cual". — 3 Adverbial: "pero sobre

ρια καθεῖλε καὶ Ῥωμαίοις ἐγένετο φίλη καὶ τῶν βασιλέων τοῖς φιλορωμαίοις τε καὶ φιλέλλησιν· ἀφ' ὧν αὐτόνομός τε διετέλεσε καὶ πολλοῖς ἀναθήμασιν ἐκοσμήθη, ἃ κεῖται τὰ μὲν πλεῖστα ἐν τῷ Διονυσίῳ καὶ τῷ γυμνασίῳ, ἄλλα δ' ἐν ἄλλοις τόποις. Ἄριστα[3] δὲ ὅ τε τοῦ Ἡλίου κολοσσός, ὅν[4] φησιν ὁ ποιήσας τὸ ἰαμβεῖον ὅτι «ἑπτάκις δέκα Χάρης ἐποίει πηχέων[5] ὁ Λίνδιος». Κεῖται δὲ νῦν ὑπὸ σεισμοῦ πεσὼν περικλασθεὶς ἀπὸ[6] τῶν γονάτων· οὐκ ἀνέστησαν δ' αὐτὸν κατά τι λόγιον.

84

Chipre
(ESTRABÓN, XIV 6, 5)

Διάκειται μὲν οὕτως[1] ἡ Κύπρος τῇ θέσει. Κατ' ἀρετὴν δ' οὐδεμιᾶς τῶν νήσων λείπεται· καὶ γὰρ εὔοινός ἐστι καὶ εὐέλαιος σίτῳ τε αὐτάρκει χρῆται[2]· μέταλλά τε χαλκοῦ ἐστιν ἄφθονα τὰ ἐν Ταμασσῷ, ἐν οἷς τὸ χαλκανθὲς γίνεται καὶ ὁ ἰὸς τοῦ χαλκοῦ, πρὸς τὰς ἰατρικὰς δυνάμεις χρήσιμα. Φησὶ δ' Ἐρατοσθένης τὸ παλαιὸν ὑλομανούντων τῶν πεδίων[3], ὥστε κατέχεσθαι δρυμοῖς καὶ μὴ γεωργεῖσθαι, μικρὰ μὲν ἐπωφελεῖν[4] πρὸς τοῦτο[5] τὰ μέταλλα, δενδροτομούντων πρὸς τὴν καῦσιν τοῦ χαλκοῦ καὶ τοῦ ἀργύρου, προσγενέσθαι[4] δὲ καὶ τὴν ναυπηγίαν τῶν στόλων ἤδη πλεομένης ἀδεῶς τῆς θαλάττης[3] καὶ μετὰ δυνάμεων.

---

todo". — [4] Se inicia una oración de infinitivo, que luego se interrumpe pasándose a una construcción conjuncional. — [5] Genitivo de cualidad; va con ἑπτάκις δέκα. — [6] "A partir de las rodillas".

84. [1] "Así". Se refiere a lo que precede. — [2] "Posee". — [3] Genitivo absoluto. — [4] Depende de φησί. — [5] A la desaparición del arbolado.

85.

Creta

(ESTRABÓN, X 4, 4-7)

Ἔστι δ' ὀρεινὴ καὶ δασεῖα ἡ νῆσος, ἔχει δ' αὐλῶνας εὐκάρπους. Τῶν δ' ὀρῶν τὰ μὲν πρὸς δύσιν καλεῖται Λευκά, οὐ λειπόμενα τοῦ Ταϋγέτου κατὰ τὸ ὕψος, ἐπὶ τὸ μῆκος δ' ἐκτεταμένα ὅσον τριακοσίων σταδίων [1], καὶ ποιοῦντα ῥάχιν τελευτῶσάν πως ἐπὶ τὰ στενά [2]. Ἐν μέσῳ δ' ἐστὶ κατὰ τὸ εὐρυχωρότατον τῆς νήσου τὸ Ἰδαῖον ὄρος, ὑψηλότατον τῶν ἐκεῖ, περιφερὲς δ' ἐν κύκλῳ σταδίων ἑξακοσίων [1]· περιοικεῖται δ' ὑπό τῶν ἀρίστων πόλεων... Πόλεις δ' εἰσὶν ἐν τῇ Κρήτῃ πλείους μέν, μέγισται δὲ καὶ ἐπιφανέσταται τρεῖς, Κνωσσός, Γόρτυνα, Κυδωνία. Διαφερόντως δὲ τὴν Κνωσσὸν καὶ Ὅμηρος ὑμνεῖ, μεγάλην καλῶν καὶ βασίλειον τοῦ Μίνω, καὶ οἱ ὕστερον. Καὶ δὴ καὶ διετέλεσε μέχρι πολλοῦ φερομένη τὰ πρῶτα [3], εἶτα ἐταπεινώθη καὶ πολλὰ [4] τῶν νομίμων ἀφῃρέθη, μετέστη δὲ τὸ ἀξίωμα εἴς τε Γόρτυναν καὶ Λύκτον, ὕστερον δ' ἀνέλαβε πάλιν τὸ παλαιόν σχῆμα τὸ τῆς μητροπόλεως... ἔχει δ' ἐπίνειον τὸ Ἡράκλειον ἡ Κνωσσός.

86.

Sicilia

(DIODORO, V 2, 1-3)

Περὶ πρώτης [1] τῆς Σικελίας ἐροῦμεν, ἐπεὶ καὶ κρατίστη τῶν νήσων ἐστὶ καὶ τῇ παλαιότητι [2] τῶν μυθολογουμένων

---

85. [1] Genitivo partitivo de lugar: "a lo largo de...". — [2] La extremidad de la isla. — [3] Expresión que significa "obtener el primer puesto" (literalmente, "ganar el primer premio"). — [4] Acusativo de cosa que se mantiene cuando el verbo de que depende, construido con doble acusativo, se pone en pasiva.

86. [1] Predicativo. — [2] Dativo-instrumental de relación: "en cuanto

πεπρώτευκε. Ἡ γὰρ νῆσος τὸ παλαιὸν[3] ἀπὸ μὲν τοῦ σχήματος Τρινακρία[4] κληθεῖσα, ἀπὸ δὲ τῶν κατοικησάντων αὐτὴν Σικανῶν Σικανία προσαγορευθεῖσα, τὸ τελευταῖον ἀπὸ Σικελῶν τῶν ἐκ τῆς Ἰταλίας πανδημεὶ περαιωθέντων ὠνόμασται Σικελία. Ἔστι δ' αὐτῆς ἡ περίμετρος σταδίων[5] ὡς[6] τετρακισχιλίων τριακοσίων ἑξήκοντα· τῶν γὰρ τριῶν πλευρῶν ἡ[7] μὲν ἀπὸ τῆς Πελωριάδος[8] ἐπὶ τὸ Λιλύβαιον ὑπάρχει[9] σταδίων χιλίων καὶ πεντακοσίων, ἡ[7] δ' ἀπὸ Λιλυβαίου μέχρι Παχύνου τῆς Συρακοσίας χώρας[10] σταδίων χιλίων καὶ πεντακοσίων, ἡ δ' ἀπολειπομένη[11] σταδίων χιλίων ἑκατὸν τεσσαράκοντα.

ANÉCDOTAS Y FRASES CÉLEBRES

87.

Licurgo sobre la democracia

(PLUTARCO*, *Sentencias de los Lacedemonios. Licurgo* 21)

Πρὸς δὲ τὸν ἀξιοῦντα δημοκρατίαν ἐν τῇ πόλει καταστήσασθαι ὁ Λυκοῦργος «Σὺ πρῶτος» ἔφη «ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν».

---

a". — [3] Adverbial. — [4] Literalmente, "que tiene tres cabos". — [5] Genitivo de cualidad. — [6] "Como", "aproximadamente". — [7] "El (que va)". — [8] La región del cabo Peloro. — [9] "(Es)". — [10] Genitivo corográfico. A continuación súplase "es". — [11] "(Es)".

87. * El más importante de los escritores griegos (nació en la ciudad beocia de Queronea) de época romana (s. II d. J. C.). Escribió las *Vidas paralelas* y las llamadas *Moralia,* escritos varios en que predomina lo filosófico.

88.

Aristides y Temístocles

(PLUTARCO, *Vida de Arístides* XXII 2-4)

Θεμιστοκλέους δὲ πρὸς τὸν δῆμον εἰπόντος ὡς ἔχει τι βούλευμα καὶ γνώμην ἀπόρρητον, ὠφέλιμον δὲ τῇ πόλει καὶ σωτήριον, ἐκέλευσαν Ἀριστείδην μόνον ἀκοῦσαι καὶ συνδοκιμάσαι. Φράσαντος δὲ τῷ Ἀριστείδῃ τοῦ Θεμιστοκλέους, ὡς διανοεῖται τὸ ναύσταθμον ἐμπρῆσαι τῶν Ἑλλήνων, οὕτω γὰρ ἔσεσθαι [1] μεγίστους καὶ κυρίους ἁπάντων τοὺς Ἀθηναίους, παρελθὼν εἰς τὸν δῆμον ὁ Ἀριστείδης ἔφη τῆς πράξεως [2] ἣν Θεμιστοκλῆς πράττειν διανοεῖται μήτε λυσιτελεστέραν ἄλλην μήτ' ἀδικωτέραν εἶναι. Ταῦτ' ἀκούσαντες οἱ Ἀθηναῖοι παύσασθαι [3] τὸν Θεμιστοκλέα προσέταξαν. Οὕτω [4] μὲν ὁ δῆμος ἦν φιλοδίκαιος, οὕτω δὲ τῷ δήμῳ πιστὸς ὁ ἀνὴρ καὶ βέβαιος.

89.

Aristides y el campesino

(PLUTARCO, *Vida de Arístides* VII 7-8)

Γραφομένων οὖν τότε [1] τῶν ὀστράκων, λέγεταί τινα [2] τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων ἀναδόντα τῷ

---

88. [1] Depende de φράσαντος con el estilo indirecto transmitido a través del γάρ. — [2] Depende de los comparativos que siguen. — [3] "Que abandonara (el proyecto)". — [4] "Tan".

89. [1] Se refiere a la ocasión en que Arístides fue condenado al ostracismo. Los ὄστρακα son trozos de barro cocido en los que se escribía el nombre del que se quería desterrar. — [2] Es sujeto de παρακαλεῖν. —

'Αριστείδῃ τὸ ὄστρακον ὡς ἑνὶ τῶν τυχόντων[3] παρακαλεῖν, ὅπως 'Αριστείδην ἐγγράψειε. Τοῦ[4] δὲ θαυμάσαντος καὶ πυθομένου μή[5] τι κακόν[6] αὐτὸν 'Αριστείδης πεποίηκεν, «Οὐδέν» εἶπεν «οὐδὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι πανταχοῦ τὸν δίκαιον ἀκούων[7]». Ταῦτ' ἀκούσαντα[8] τὸν 'Αριστείδην ἀποκρίνασθαι μὲν οὐδέν, ἐγγράψαι δὲ τοὔνομα[9] τῷ ὀστράκῳ καὶ ἀποδοῦναι. Τῆς δὲ πόλεως ἀπαλλαττόμενος ἤδη, τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν εὔξατο τὴν ἐναντίαν ὡς ἔοικεν εὐχὴν τῷ 'Αχιλλεῖ[10], μηδένα καιρὸν 'Αθηναίους καταλαβεῖν ὃς ἀναγκάσει τὸν δῆμον 'Αριστείδου μνησθῆναι.

90.

Temístocles y el serifio

(PLUTARCO, *Sentencias de Reyes y Generales. Temístocles* 7)

Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν[1] εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἀλλὰ διά τὴν πόλιν ἔνδοξός ἐστιν, «'Αληθῆ λέγεις» εἶπεν «ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην[2] ἔνδοξος οὔτε σὺ 'Αθηναῖος».

---

[3] "De los que encontró casualmente". — [4] Demostrativo; se refiere a Aristides. — [5] Introduce una interrogativa indirecta: "si acaso". — [6] Neutro. — [7] "Oyéndole llamar". — [8] Toda la oración depende de λέγεται. [9] Crasis por τὸ ὄνομα. — [10] Comparación abreviada.

90. [1] Temístocles. — [2] El aoristo con ἄν indica la irrealidad en el pasado.

91.

Los espartanos Bulis y Esperquis

(PLUTARCO, *Sentencias de los Lacedemonios* 63)

Βοῦλις καὶ Σπέρχις Λακεδαιμόνιοι πορευθέντες[1] ἐθελονταὶ πρὸς Ξέρξην τὸν Περσῶν βασιλέα ἐπὶ τιμωρίᾳ, ἣν ὦφλεν ἡ Λακεδαίμων κατὰ χρησμόν, διότι κήρυκας πεμφθέντας ὑπὸ τοῦ Πέρσου ὡς[2] αὐτοὺς ἀπέκτειναν[3], ἐλθόντες πρὸς τὸν Ξέρξην ἐκέλευον ᾧ βούλεται τρόπῳ[4] διαχρήσασθαι αὐτοὺς ὑπὲρ Λακεδαιμονίων. Ὡς δ' ἐκεῖνος ἀγασθεὶς ἀπέλυσε τοὺς ἄνδρας καὶ ἠξίου μένειν παρ' αὐτῷ, «Καὶ πῶς ἂν» ἔφασαν «δυναίμεθα ζῆν ἐνταῦθα, πατρίδα καταλιπόντες καὶ νόμους καὶ τούτους τοὺς ἄνδρας ὑπὲρ ὧν τοσαύτην ἤλθομεν ὁδὸν[5] ἀποθανούμενοι[6];» Ἰνδάρνου δὲ τοῦ στρατηγοῦ ἐπὶ πλέον[7] δεομένου καὶ λέγοντος τεύξεσθαι αὐτοὺς τῆς ἴσης τιμῆς[8] τοῖς μάλιστα ἐν προαγωγῇ φίλοις τοῦ βασιλέως, ἔφασαν· «Ἀγνοεῖν ἡμῖν δοκεῖς, ἡλίκον ἐστὶ τὸ τῆς ἐλευθερίας[9], ἧς[10] οὐκ ἂν ἀλλάξαιτό τις νοῦν ἔχων τὴν Περσῶν βασιλείαν».

---

91. [1] Pasiva de un deponente con igual valor que la media. — [2] Preposición. — [3] Tradúzcase por pluscuamperfecto. — [4] El antecedente τρόπῳ va incluido en la oración de relativo. — [5] Acusativo interno de un verbo que significa "venir". — [6] Final. — [7] "Aún más". — [8] Genitivo con verbo de "obtener". — [9] "Lo de la libertad", "el bien que representa la libertad". — [10] Genitivo con un verbo que indica cambio.

92.

Los sibaritas

(ATENEO*, XII 518 C-D)

Πρῶτοι δὲ Συβαρῖται καὶ τὰς ποιούσας ψόφον τέχνας οὐκ ἐῶσιν ἐπιδημεῖν τῇ πόλει, οἷον [1] χαλκέων καὶ τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως αὐτοῖς πανταχόθεν [2] ἀθόρυβοι ὦσιν οἱ ὕπνοι· οὐκ ἐξῆν δ' οὐδ' ἀλεκτρυόνα ἐν τῇ πόλει τρέφεσθαι. Ἱστορεῖ δὲ περὶ αὐτῶν Τίμαιος ὅτι ἀνὴρ Συβαρίτης εἰς ἀγρόν ποτε πορευόμενος ἔφη ἰδὼν τοὺς ἐργάτας σκάπτοντας αὐτὸς ῥῆγμα λαβεῖν· πρὸς ὃν ἀποκρίνασθαί [3] τινα τῶν ἀκουσάντων· «Αὐτὸς δέ σου διηγουμένου ἀκούων πεπονηκέναι [4] τὴν πλευράν [5]».

93.

Palabras de Anaxágoras a la muerte de sus hijos

(ELIANO, *Historias varias* III 2)

Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ σπουδάζοντι πρὸς [1] τοὺς ἑταίρους προσελθὼν ἔφη τεθνηκέναι οἱ [2] τοὺς δύο παῖδας οὕσπερ οὖν εἶχε μόνους ὁ Ἀναξαγόρας. Ὁ δὲ μηδὲν διαταραχθεὶς εἶπεν· «Ἤιδειν θνητοὺς γεγεννηκώς».

---

92. * Ateneo de Náucratis, autor del s. II d. J. C., que escribió el *Banquete de los sofistas,* vasta compilación de erudición de diversa índole. — [1] "(Las de)". — [2] En sentido figurado. — [3] Depende de ἱστορεῖ. [4] Se esperaría πεπόνηκα, pero va en estilo indirecto, continuando mecánicamente el de la oración anterior. — [5] Acusativo de relación.

93. [1] En el sentido de "dedicarse al estudio de la filosofía con". — [2] Dativo de interés; se refiere a Anaxágoras.

94.

Conciencia de Pericles

(PLUTARCO, *Sentencias de Reyes y Generales. Pericles* 1)

Περικλῆς, ὁπότε μέλλοι [1] στρατηγεῖν, ἀναλαμβάνων τὴν χλαμύδα πρὸς ἑαυτὸν [2] ἔλεγε· «Πρόσεχε [3], Περίκλεις, ἐλευθέρων μέλλεις ἄρχειν καὶ Ἑλλήνων καὶ Ἀθηναίων».

95.

Arquidamo* sobre el poderío espartano

(PLUTARCO, *Sentencias de los Lacedemonios. Arquidamo* 2)

Ἐρωτηθεὶς δὲ πόσης χώρας κρατοῦσιν οἱ Σπαρτιᾶται, «Ὅσης ἂν» ἔφη «τῷ δόρατι ἐφικνῶνται».

96.

Lisandro* y el argumento de la fuerza

(PLUTARCO, *Sentencias de Reyes y Generales. Lisandro* 5)

Μεγαρέως δ' ἀνδρὸς ἐν κοινῷ συλλόγῳ παρρησίᾳ χρησαμένου πρὸς αὐτόν, «Οἱ λόγοι σου» εἶπε «πόλεως [1] δέονται».

---

94. [1] Iterativo. — [2] Tapándose la cara para reflexionar. — [3] Se entiende τὸν νοῦν.

95. * Rey de Esparta al comienzo de la guerra del Peloponeso (431 a. J. C.).

96. * General espartano que puso fin a la guerra del Peloponeso tomando a Atenas (404 a. J. C.). — [1] Alude a la insignificancia de Mégara.

97.

Alcibíades* y la cola de su perro

(PLUTARCO, *Sentencias de Reyes y Generales. Alcibíades* 2)

῞Εχων δὲ κύνα πάγκαλον ἐωνημένον ἑπτακισχιλίων δραχμῶν [1], ἀπέκοψεν αὐτοῦ τὴν οὐράν «῞Οπως» ἔφη «τοῦτο λέγωσιν ᾿Αθηναῖοι περὶ ἐμοῦ καὶ μηδὲν ἄλλο πολυπραγμονῶσι».

98.

Platón abraza la filosofía

(ELIANO, *Historias varias* II 30)

Πλάτων ὁ [1] ᾿Αρίστωνος τὰ πρῶτα [2] ἐπὶ ποιητικὴν ὥρμησε, καὶ ἡρωϊκὰ ἔγραφε μέτρα [3]· εἶτα αὐτὰ κατέπρησεν ὑπεριδὼν αὐτῶν [4], ἐπεὶ τοῖς [5] ῾Ομήρου αὐτὰ ἀντικρίνων ἑώρα κατὰ πολὺ [6] ἡττώμενα. ᾿Επέθετο οὖν τραγῳδίᾳ, καὶ δὴ καὶ [7] τετραλογίαν [8] εἰργάσατο, καὶ ἔμελλεν ἀγωνιεῖσθαι, δοὺς ἤδη τοῖς ὑποκριταῖς τὰ ποιήματα. Πρὸ τῶν Διονυσίων δὲ παρελθών, ἤκουσε Σωκράτους [9], καὶ ἅπαξ αἱρεθεὶς ὑπὸ τῆς ἐκείνου σειρῆνος [10], τοῦ ἀγωνίσματος οὐ μόνον ἀπέστη τότε, ἀλλὰ καὶ τελέως τὸ γράφειν τραγῳδίαν ἀπέρριψε, καὶ ἀπεδύσατο ἐπὶ φιλοσοφίαν.

---

97. * General y político ateniense de la época de la guerra del Peloponeso. — [1] Genitivo de precio.

98. [1] "(Hijo)". — [2] Adverbial. — [3] "Versos heroicos", o sea, poesía épica. — [4] Genitivo con verbo de "despreciar". — [5] Súplase μέτροις. — [6] "En mucho", "con mucho". — [7] "E incluso". — [8] Una tetralogía comprendía tres tragedias y un drama satírico, que se representaban en un mismo concurso. — [9] Genitivo con verbo de "oír". — [10] En sentido figurado: "atractivo".

99.

Antístenes* critica a los atenienses

(DIÓGENES LAERCIO**, VI 8)

Συνεβούλευεν Ἀθηναίοις τοὺς ὄνους ἵππους ψηφίσασθαι[1]· ἄλογον δὲ ἡγουμένων[2], «Ἀλλὰ μὴν καὶ στρατηγοί» φησί «φαίνονται παρ' ὑμῖν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες».

100.

Una anécdota de Aristipo*

(DIÓGENES LAERCIO, II 69)

Ἐρωτηθεὶς ὑπὸ Διονυσίου «Διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι;», ἔφη· «Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δ' οὐκ ἴσασιν».

101.

Un rey del Ponto y el caldo negro espartano

(PLUTARCO, *Vida de Licurgo* XII 13)

Λέγεται[1] δέ τινα τῶν Ποντικῶν βασιλέων ἕνεκα τοῦ ζωμοῦ καὶ[2] πρίασθαι Λακωνικὸν μάγειρον· εἶτα γευσάμε-

---

99. * Discípulo de Sócrates conocido por su rigorismo moral. Escribió diálogos socráticos y se le considera fundador de la escuela cínica. — ** Autor del s. II d. J. C. que escribió una *Vida de los filósofos* más anecdótica que realmente filosófica. — [1] Construido con dos acusativos, uno de ellos con valor predicativo. — [2] Súplase αὐτῶν τοῦτο.

100. * Aristipo de Cirene, discípulo de Sócrates. Basaba su filosofía en el placer.

101. [1] De este verbo son sujetos pacientes los infinitivos πρίασθαι, δυσχερᾶναι y εἰπεῖν. — [2] "Incluso".

νον δυσχερᾶναι· καὶ τὸν μάγειρον εἰπεῖν· «Ὦ βασιλεῦ, τοῦτον δεῖ τὸν ζωμὸν ἐν τῷ Εὐρώτᾳ λελουμένους ἐποψᾶσθαι».

102.

Antálcidas* sobre la superioridad espartana

(PLUTARCO, *Sentencias de Reyes y Generales. Antálcidas* 2)

Ἑτέρου δ' Ἀθηναίου πρὸς αὐτὸν εἰπόντος «Ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑμᾶς[1] ἐδιώξαμεν», «Ἡμεῖς δ' οὐδέποτε» εἶπεν «ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα[2]».

103.

Dionisio el Joven y Filipo

(ELIANO, *Historias varias* XII 60)

Συνουσία ποτὲ ἐγένετο Διονυσίῳ τῷ δευτέρῳ καὶ Φιλίππῳ τῷ Ἀμύντου. Πολλοὶ μὲν οὖν, ὡς τὸ εἰκός[1], καὶ ἄλλοι λόγοι ἐπέρρευσαν, ἐν δὲ τοῖς[2] καὶ ἐκεῖνο[3] ἤρετο ὁ Φίλιππος τὸν Διονύσιον[3], πῶς τοσαύτην παρὰ τοῦ πατρὸς λαβὼν ἀρχὴν εἶτα οὐ διεσώσατο αὐτήν. Ὁ δὲ ἀπεκρίνατο οὐκ ἔξω μέλους[4] ὅτι[5] «Τὰ μὲν ἄλλα μοι κατέλιπεν ὁ πατήρ, τὴν δὲ τύχην, ᾗ ταῦτα ἐκτήσατο καὶ διεφύλαξεν, οὐκέτι».

---

102. * Político espartano, conocido por el deshonroso tratado que concertó con Persia el año 386 a. J. C. — [1] A los espartanos. — [2] Genitivo dórico.

103. [1] "(Es)". — [2] Demostrativo. — [3] Doble acusativo. — [4] "De ritmo", "de razón". — [5] No se traduce.

104.

Epaminondas* se burla de los lacedemonios

(PLUTARCO, *Sentencias de Reyes y Generales. Epaminondas* 16)

Πρὸς δὲ τοὺς Σπαρτιάτας πολλὰ καὶ μεγάλα τῶν Θηβαίων [1] κατηγοροῦντας «Οὗτοι μέντοι» εἶπεν «ὑμᾶς βραχυλογοῦντας [2] ἔπαυσαν».

105.

Foción desprecia las riquezas

(ELIANO, *Historias varias* XI 9)

Καὶ Φωκίων δὲ πένης ἦν. Ἀλεξάνδρου δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατόν, ἠρώτα· «Διὰ τίνα αἰτίαν μοι δίδωσιν;» Ὡς δ' εἶπον ὅτι μόνον αὐτὸν Ἀθηναίων ἡγεῖται καλὸν καὶ ἀγαθόν, «Οὐκοῦν» ἔφη «ἐασάτω με τοιοῦτον εἶναι».

106.

Respuesta de Foción

(ELIANO, *Historias varias* XII 49)

Φωκίων ὁ [1] τοῦ Φώκου, πολλάκις στρατηγήσας, κατεγνώσθη θανάτου [2] καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ καὶ ἔμελλε [3]

---

104. * General y político tebano que venció a Esparta en Leuctra (371 a. J. C.). — [1] Genitivo con compuestos de κατα-. — [2] Participio concertado con verbo de "cesar". La concisión de los espartanos era famosa.

106. [1] "(Hijo)". — [2] Genitivo procesal. — [3] Lleva el infinitivo πιεῖσθαι, futuro que se explica por influjo del sentido de μέλλω. La

πιεῖσθαι τὸ κώνειον. Ἐπεὶ δὲ ὤρεξεν ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο εἴ τι λέγοι πρὸς τὸν υἱόν. Ὁ δέ[4] «Ἐπισκήπτω αὐτῷ μηδὲν Ἀθηναίοις μνησικακῆσαι ὑπὲρ τῆς παρ' αὐτῶν[5] φιλοτησίας[6], ἣν νῦν πίνω». Ὅστις δὲ οὐκ ἐπαινεῖ καὶ ὑπερθαυμάζει τὸν ἄνδρα, δοκεῖ μοι μέγα[7] ὁ τοιοῦτος ἐννοεῖν οὐδέν.

107.

Ambición de Alejandro

(PLUTARCO, *Sentencias de Reyes y Generales. Alejandro* 1)

Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας· «Ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει».

108.

Alejandro y Diógenes

(PLUTARCO, *Vida de Alejandro* XIV 1-5)

Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη[1]. Πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ[2] φιλοσόφων ἀπηντηκότων αὐτῷ καὶ συνηδομένων, ἤλπιζε καὶ[3] Διογένην τὸν Σινωπέα ταὐτὸ[4] ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. Ὡς δ' ἐκεῖνος ἐλάχιστον Ἀλεξάν-

---

forma clásica es πίεσθαι. — [4] "(Dijo)". — [5] "Procedente de ellos". — [6] Irónico. — [7] Concierta con οὐδέν.

108. [1] Alejandro. — [2] Lat. *et... et...* — [3] "También". — [4] Crasis

δρου λόγον ἔχων ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτός[1] ἐπορεύετο πρὸς αὐτόν. Ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ. Καὶ μικρὸν[5] μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον. Ὡς δ᾽ ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει δεόμενος[6], «Μικρὸν» εἶπεν «ἀπὸ τοῦ ἡλίου μετάστηθι». Πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ[7] θαυμάσαι καταφρονηθέντα[8] τὴν ὑπεροψίαν[9] καὶ τὸ μέγεθος τοῦ ἀνδρός, ὥστε τῶν περὶ αὐτὸν ὡς ἀπῄεσαν διαγελώντων καὶ σκωπτόντων, «Ἀλλὰ μὴν ἐγὼ» εἶπεν «εἰ μὴ Ἀλέξανδρος ἤμην[10], Διογένης ἂν ἤμην».

109.

Diógenes, esclavo

(Diógenes Laercio, VI 74)

Καὶ πρᾶσιν ἤνεγκε γενναιότατα[1]· πλέων γὰρ εἰς Αἴγιναν καὶ πειραταῖς ἁλοὺς ὧν ἦρχε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο· καὶ τοῦ κήρυκος ἐρωτῶντος τί οἶδε ποιεῖν, ἔφη· «Ἀνθρώπων ἄρχειν». Ὅτε καὶ[2] δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν προειρημένον[3] Ξενιάδην, ἔφη· «Τούτῳ με πώλει· οὗτος γὰρ δεσπότου χρῄζει». Ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι[4] διετίθει, ὥστε ἐκεῖνος περιιὼν ἔλεγεν· «Ἀγαθὸς δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε».

---

por τὸ αὐτό. — [5] Adverbialmente: "durante un momento". — [6] Rige genitivo (τινός). — [7] (οὕτω). — [8] Concertado con τὸν Ἀλέξανδρον. [9] Es complemento directo de θαυμάσαι. — [10] Igual que ἦν (irreal).

109. [1] Adverbial. — [2] "(Fue entonces) cuando también". — [3] En un párrafo anterior. — [4] Neutro.

110.

Demetrio Falereo y Ptolomeo

(PLUTARCO, *Sentencias de Reyes y Generales. Demetrio* 1)

Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ[1] περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· «Ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται».

HISTORIA GRIEGA Y ROMANA

111.

Costumbres de los antiguos griegos

(TUCÍDIDES, I 6, 3)

Ἐν τοῖς[1] πρῶτοι δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο[2] καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν. Καὶ οἱ πρεσβύτεροι αὐτοῖς[3] τῶν εὐδαιμόνων διὰ τὸ ἁβροδίαιτον[4] οὐ πολὺς χρόνος[5] ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες[6] καὶ χρυσῶν τεττίγων ἐνέρσει[7] κρωβύλον ἀναδούμενοι[6] τῶν ἐν τῇ κεφαλῇ τριχῶν· ἀφ' οὗ[8] καὶ Ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενὲς[4] ἐπὶ πολὺ αὕτη ἡ σκευὴ κατέσχεν. Μετρίᾳ δ' αὖ ἐσθῆτι καὶ ἐς[9] τὸν νῦν τρόπον πρῶτοι Λακεδαιμόνιοι ἐχρήσαντο.

---

110. [1] Únase con βιβλία.

111. [1] Demostrativo. — [2] O sea, dejaron de ir armados ordinariamente. — [3] Dativo simpatético: equivale a τῶν εὐδαιμόνων ("de los ricos") αὐτῶν ("de ellos"). — [4] Equivalente a un abstracto. — [5] Súplase ἐστί. — [6] Participio predicativo con verbo de "cesar". — [7] Dativo-instrumental: "con la sujeción de", o sea, "sujetándolos por medio de". [8] "Por lo cual". — [9] "Conforme con".

112.

El oro y la plata en Grecia

(ATENEO, VI 231 B-C)

Σπάνιος γὰρ ὄντως ἦν τὸ παλαιὸν παρὰ τοῖς Ἕλλησιν ὁ μὲν χρυσὸς καὶ πάνυ [1], ὁ δὲ ἄργυρος ὀλίγος ἦν ὁ ἐν τοῖς μετάλλοις. Διὸ καὶ Φίλιππον [2], τὸν τοῦ μεγάλου βασιλέως Ἀλεξάνδρου πατέρα, λέγει Δοῦρις ὁ Σάμιος φιάλιον χρυσοῦν κεκτημένον ἀεὶ τοῦτ' ἔχειν κείμενον ὑπὸ τὸ προσκεφάλαιον. Καὶ τὴν Ἀτρέως δὲ χρυσῆν ἄρνα [3], περὶ ἣν γεγόνασιν ἡλίου τε ἐκλείψεις καὶ βασιλειῶν μεταβολαὶ ἔτι τε τῆς τραγῳδίας ἡ πολλή, φιάλην ἀργυρᾶν φησι γεγονέναι Ἡρόδωρος ὁ Ἡρακλεώτης ἔχουσαν ἐν μέσῳ ἄρνα χρυσῆν. Ἀναξιμένης δ' ὁ Λαμψακηνὸς λέγει... τὸν Ἐριφύλης ὅρμον [4] διαβόητον γενέσθαι διὰ τὸ σπάνιον εἶναι τότε τὸ χρυσίον παρὰ τοῖς Ἕλλησι. Καὶ γὰρ ἀργυροῦν ποτήριον ἦν ἰδεῖν τότε παράδοξον [5].

113.

Significado de los Juegos Olímpicos

(LISIAS*, *Olímpico* 1-2)

Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ ἄνδρες, ἄξιον Ἡρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν ἀγῶνα

---

112. [1] καὶ πάνυ: "grandemente". — [2] Sujeto de ἔχειν, que depende de λέγει. — [3] El cordero de oro que nació entre los rebaños de Atreo fue la causa remota de las sucesivas venganzas que ensangrentaron a su familia, las cuales fueron tratadas por la tragedia. — [4] El collar con el que Polinices sedujo a Erifile. — [5] Predicado.

πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος [1]. Ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο· ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους [2] ἔπαυσε καὶ τοὺς ὑβρίζοντας [3] ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν δὲ πλούτου, γνώμης [4] δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ τόπῳ τῆς Ἑλλάδος, ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ [5] συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι· ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενήσεσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας.

114.

Las leyes de Licurgo

(JENOFONTE*, *Constitución de Lacedemonia* X 7-8)

Ἐπέθηκε δὲ καὶ τὴν ἀνυπόστατον ἀνάγκην ἀσκεῖν [1] ἅπασαν πολιτικὴν ἀρετήν. Τοῖς μὲν γὰρ τὰ νόμιμα ἐκτελοῦσιν ὁμοίως ἅπασι τὴν πόλιν οἰκείαν ἐποίησε καὶ οὐδὲν ὑπελογίσατο οὔτε σωμάτων οὔτε χρημάτων ἀσθένειαν· εἰ

---

113. * Orador de origen siracusano establecido en Atenas (444-360 a. J. C., aproximadamente), es conocido por sus piezas forenses, casi todas escritas para otras personas. También se conservan un discurso *Olímpico* y un *Epitafio*, dirigidos, respectivamente, a los concurrentes a los juegos y a los atenienses que anualmente acudían a honrar a los muertos en la guerra. — [1] Objetivo. — [2] Todos fabulosos: Lico, Diomedes, etc. — [3] Los centauros, el león de Nemea, etc. — [4] Se refiere a los discursos, lecturas públicas, etc., que había con motivo de los juegos. — [5] "En un mismo lugar".

114. * El segundo de los grandes historiadores atenienses (430-354 a. J. C., aproximadamente). Además de obras históricas como la *Anábasis* y las *Helénicas*, escribió una especie de novela sobre la vida de Ciro (*Ciropedia*), obras socráticas, etc. — [1] "De ejercitar". — [2] Son los ciudadanos

δέ τις ἀποδειλιάσειε τοῦ τὰ νόμιμα διαπονεῖσθαι, τοῦτον ἐκεῖνος ἀπέδειξε μηδὲ νομίζεσθαι ἔτι τῶν ὁμοίων[2] εἶναι.

Ἀλλὰ γὰρ ὅτι μὲν παλαιότατοι οὗτοι οἱ νόμοι εἰσί, σαφές[3]· ὁ γὰρ Λυκοῦργος κατὰ[4] τοὺς Ἡρακλείδας λέγεται γενέσθαι· οὕτω δὲ παλαιοὶ ὄντες, ἔτι καὶ νῦν τοῖς ἄλλοις[5] καινότατοί[6] εἰσι· καὶ γάρ, τὸ πάντων θαυμαστότατον[7], ἐπαινοῦσι μὲν πάντες τὰ τοιαῦτα ἐπιτηδεύματα, μιμεῖσθαι δὲ αὐτὰ οὐδεμία πόλις ἐθέλει.

115.

Licurgo prohibe en Esparta las profesiones lucrativas

(JENOFONTE, *Constitución de los lacedemonios* VII 1-2)

Ἐναντία γε μὴν καὶ τάδε[1] τοῖς ἄλλοις Ἕλλησι[2] κατέστησεν ὁ Λυκοῦργος ἐν τῇ Σπάρτῃ νόμιμα. Ἐν μὲν γὰρ δήπου ταῖς ἄλλαις πόλεσι πάντες χρηματίζονται ὅσον δύνανται· ὁ μὲν[3] γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δ' ἐμπορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται· ἐν δὲ τῇ Σπάρτῃ ὁ Λυκοῦργος τοῖς ἐλευθέροις τῶν[4] μὲν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς[5] ἅπτεσθαι, ὅσα[6] δὲ ἐλευθερίαν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξε μόνα ἔργα[7] αὐτῶν νομίζειν.

---

espartanos con plenos derechos, "iguales" entre sí. — [3] Súplase ἐστί; de esta principal depende la subordinada precedente. — [4] "En tiempo de...". La llegada de los Heraclidas, o hijos de Heracles, es el reflejo mítico de la invasión doria. — [5] Dativo instrumental de relación. — [6] "Nuevos" en el sentido de "insólitos". — [7] Es aposición a las dos oraciones que siguen.

115. [1] Concuerda con νόμιμα. — [2] Comparación abreviada. — [3] En correlación con ὁ δέ..., ὁ δέ, etc. — [4] Genitivo partitivo dependiente de μηδενός. Sustantiviza a ἀμφὶ χρηματισμόν. — [5] Genitivo con verbo de contacto. — [6] Oración de relativo que precede a su antecedente ταῦτα. [7] Predicativo.

116.

Costumbres de los lacedemonios

(NICOLAO* en ESTOBEO**, IV 2, 25)

Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας ἢ τάς εἰς πόλεμον εὐθέτους αἰσχρόν ἐστιν. Ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. Τοὺς δὲ γέροντας αἰσχύνονται οὐδὲν ἧττον ἢ πατέρας· γυμνάσια δ' ὥσπερ[1] ἀνδρῶν ἐστιν, οὕτω καὶ παρθένων. Ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ, οὐδὲ Σπαρτιάταις ξενιτεύειν... Χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάτῃ. Νομίσματι δὲ χρῶνται σκυτίνῳ· ἐὰν δὲ παρά τινι[2] εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. Σεμνύονται δὲ πάντες ἐπὶ τῷ[3] ταπεινοὺς αὑτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς. Μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς ζῶντες. Οἱ δὲ παῖδες νομίμως[4] περί τινα βωμόν περιϊόντες μαστιγοῦνται ἕως ἂν ὀλίγοι λειφθέντες στεφανωθῶσι.

117.

Partida del rey lacedemonio para la guerra

(JENOFONTE, *Constitución de los lacedemonios* XIII 2-5)

Θύει μὲν γὰρ πρῶτον οἴκοι ὢν Διὶ Ἀγήτορι καὶ τοῖς σὺν αὐτῷ[1]· ἢν δὲ ἐνταῦθα καλλιερήσῃ[2], λαβὼν ὁ πυρφόρος

---

116. * Nicolao de Damasco, erudito del s. I a. J. C. — ** Juan Estobeo, de Macedonia, autor de una *Antología* que nos ha salvado muchos fragmentos de autores perdidos (s. V d. J. C.). — [1] Va en correlación con οὕτω καί. — [2] "En casa de uno". — [3] Sustantiviza a παρέχειν. — [4] "Con arreglo a la costumbre".

117. [1] Los demás dioses a los que se sacrifica en estos casos. —

πῦρ ἀπὸ τοῦ βωμοῦ προηγεῖται ἐπὶ τά ὅρια τῆς χώρας· ὁ δὲ βασιλεὺς ἐκεῖ αὖ θύεται[3] Διὶ καὶ Ἀθηνᾷ. Ὅταν δὲ ἀμφοῖν τούτοιν τοῖν θεοῖν καλλιερηθῇ[4], τότε διαβαίνει τὰ ὅρια τῆς χώρας... Ὅταν δὲ τελεσθῇ τά ἱερά, ὁ βασιλεὺς προσκαλέσας πάντας παραγγέλλει τά ποιητέα.

118.

La educación en Esparta

(Plutarco, *Vida de Licurgo* XVI 7-10)

Οὐδ' ἐξῆν ἑκάστῳ τρέφειν οὐδὲ παιδεύειν ὡς ἐβούλετο τὸν υἱόν, ἀλλά πάντας εὐθὺς ἑπταετεῖς γενομένους[1] παραλαμβάνων αὐτὸς[2] εἰς ἀγέλας κατελόχιζε, καὶ συννόμους ποιῶν καὶ συντρόφους μετ' ἀλλήλων εἴθιζε συμπαίζειν καὶ συσχολάζειν. Ἄρχοντα δ' αὐτοῖς παρίσταντο τῆς ἀγέλης τὸν τῷ φρονεῖν διαφέροντα καὶ θυμοειδέστατον ἐν τῷ μάχεσθαι· καὶ πρὸς τοῦτον ἀφεώρων, καὶ προστάττοντος[3] ἠκροῶντο, καὶ κολάζοντος[3] ἐκαρτέρουν, ὥστε τὴν παιδείαν εἶναι μελέτην εὐπειθείας... Γράμματα μὲν οὖν ἕνεκα τῆς χρείας ἐμάνθανον· ἡ δ' ἄλλη πᾶσα παιδεία πρός τὸ ἄρχεσθαι καλῶς[4] ἐγίγνετο καὶ καρτερεῖν πονοῦντα καὶ νικᾶν μαχόμενον.

---

[2] Sujeto elíptico: (τὰ ἱερεῖα). — [3] Tiene igual sentido que θύει. — [4] Pasiva impersonal: "cuando se han obtenido buenos augurios en el sacrificio en honor de".

118. [1] "En cuanto cumplen siete años". — [2] Licurgo. — [3] Se sobrentiende τούτου. — [4] "Con vistas a ser mandados (obedecer) bien". Con τό van también los infinitivos siguientes, cuyo sujeto elíptico es igualmente τινά, "uno".

119.

Política de Solón (593 a. J. C.)

(Aristóteles*, *Constitución de Atenas* VI 1)

Κύριος δὲ γενόμενος τῶν πραγμάτων Σόλων τόν τε δῆμον ἠλευθέρωσε καὶ ἐν τῷ παρόντι καὶ εἰς τὸ μέλλον, κωλύσας δανείζειν ἐπὶ [1] τοῖς σώμασιν, καὶ νόμους ἔθηκε καὶ χρεῶν ἀποκοπὰς ἐποίησε καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων, ἃς σεισάχθειαν καλοῦσιν, ὡς [2] ἀποσεισάμενοι τὸ βάρος.

120.

Juramento de los efebos en Atenas

(Pólux*, VIII 105-106)

Οὐ καταισχυνῶ τὰ ὅπλα, οὐδὲ καταλείψω τὸν παραστάτην, ᾧ ἂν στοιχῶ, ἀμυνῶ δὲ καὶ [1] ὑπὲρ ἱερῶν καὶ ὁσίων καὶ μόνος καὶ μετὰ πολλῶν, καὶ τὴν πατρίδα οὐκ ἐλάττω παραδώσω, πλεύσω δὲ καὶ καταρόσω ὁπόσην ἂν παραδέξωμαι. Καὶ συνήσω τῶν [2] ἀεὶ [3] κρινόντων [2] καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὕστινας [4] ἄλλους ἱδρύσεται

---

119. * El célebre filósofo, discípulo de Platón y fundador de la escuela peripatética (384-322 a. J. C.). — [1] "Con la garantía de", es decir, con la condición de ser vendido como esclavo si no se pagaba. — [2] "Como". Σεισάχθεια viene de σείω y ἄχθος, que equivale a βάρος.

120. * Julio Pólux, que escribió a fines del s. II d. J. C. un *Onomasticon* en que recogía, con ilustraciones, el vocabulario ático antiguo. — [1] Los cuatro καί forman dos parejas correlativas. — [2] Genitivo con verbo de "obedecer". — [3] "En cada caso". — [4] Falta un antecedente

τὸ πλῆθος ἐμφρόνως[5]· καὶ ἄν[6] τις ἀναιρῇ τοὺς θεσμοὺς ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων. Καὶ τά ἱερὰ τὰ πάτρια τιμήσω. Ἵστορες θεοί[7], Ἄγραυλος, Ἐνυάλιος, Ἄρης, Ζεύς, Θαλλώ, Αὐξώ, Ἡγεμόνη.

121.

Pisístrato, tirano de Atenas (561 a. J. C.)

(Aristóteles, *Constitución de Atenas* XIV 1)

Δημοτικώτατος δ' εἶναι δοκῶν ὁ Πεισίστρατος καὶ σφόδρ' εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ, κατατραυματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς ὑπὸ τῶν ἀντιστασιωτῶν ταῦτα πεπονθώς, φυλακὴν ἑαυτῷ δοῦναι τοῦ σώματος, Ἀριστίωνος γράψαντος τὴν γνώμην. Λαβὼν δὲ τοὺς κορυνηφόρους[1] καλουμένους, ἐπαναστὰς μετὰ τούτων τῷ δήμῳ κατέσχε τὴν ἀκρόπολιν ἔτει δευτέρῳ καὶ τριακοστῷ μετὰ τὴν τῶν νόμων[2] θέσιν, ἐπὶ Κωμέου ἄρχοντος.

122.

Gobierno de Pisístrato

(Aristóteles, *Const. At.* XVI 1-4)

Ἡ μὲν οὖν Πεισιστράτου τυραννὶς ἐξ ἀρχῆς τε κατέστη τοῦτον τὸν τρόπον[1] καὶ μεταβολὰς ἔσχεν τοσαύτας. Διῴκει δ' ὁ Πεισίστρατος, ὥσπερ εἴρηται, τὰ περὶ τὴν πόλιν μετρίως καὶ μᾶλλον πολιτικῶς ἢ τυραννικῶς· ἔν τε γὰρ τοῖς ἄλλοις[2]

---

en dativo. — [5] Va con πείσομαι. — [6] Conjunción. — [7] Súplase ἔστωσαν; Ἄγραυλος, etc., son aposiciones a θεοί.

121. [1] Los guardias de corps, armados de una maza. — [2] Las leyes de Solón.

122. [1] Acusativo adverbial. — [2] Neutro. — [3] Genitivo partitivo con

φιλάνθρωπος ἦν καὶ πρᾷος καὶ τοῖς ἁμαρτάνουσι συγγνωμονικός, καὶ δὴ καὶ τοῖς ἀπόροις προεδάνειζε χρήματα πρὸς τὰς ἐργασίας, ὥστε διατρέφεσθαι γεωργοῦντας. Τοῦτο δ' ἐποίει δυοῖν χάριν, ἵνα μήτε ἐν τῷ ἄστει διατρίβωσιν, ἀλλὰ διεσπαρμένοι κατὰ τὴν χώραν, καὶ ὅπως εὐποροῦντες τῶν μετρίων [3] καὶ πρὸς τοῖς ἰδίοις [2] ὄντες μήτ' ἐπιθυμῶσι μήτε σχολάζωσιν ἐπιμελεῖσθαι τῶν κοινῶν [2]. Ἅμα δὲ συνέβαινεν αὐτῷ καὶ τὰς προσόδους γίγνεσθαι μείζους ἐξεργαζομένης τῆς χώρας [4].

123.

Clístenes

(ARISTÓTELES, *Const. At.* XXI 1-4)

Διὰ μὲν οὖν ταύτας τὰς αἰτίας [1] ἐπίστευεν ὁ δῆμος τῷ Κλεισθένει. Τότε δὲ τοῦ πλήθους προεστηκὼς [2] ἔτει τετάρτῳ μετὰ τὴν τῶν τυράννων κατάλυσιν ἐπὶ Ἰσαγόρου ἄρχοντος [3], πρῶτον μὲν συνένειμε πάντας εἰς δέκα φυλὰς ἀντὶ τῶν τεττάρων [4], ἀναμεῖξαι βολόμενος, ὅπως μετάσχωσι πλείους τῆς πολιτείας... διὰ τοῦτο [5] δὲ οὐκ εἰς δώδεκα φυλὰς συνέταξεν, ὅπως αὐτῷ μὴ συμβαίνῃ μερίζειν κατὰ τὰς προϋπαρχούσας τριττῦς· ἦσαν γὰρ ἐκ τεττάρων φυλῶν δώδεκα τριττύες [6], ὥστ' οὐ συνέπιπτεν ἂν [7] ἀναμίσγεσθαι τὸ πλῆθος. Διένειμε δὲ καὶ τὴν χώραν κατὰ δήμους τριάκοντα

---

verbos de "llenar", etc.; equivale a un instrumental. — [4] Genitivo absoluto con valor causal.

123. [1] Enumeradas antes: Clístenes pertenecía a la familia de los Alcmeónidas, siempre enemiga de los tiranos. — [2] Alude a la calidad de jefe del partido popular. — [3] En Atenas se fechaba con el nombre del arconte epónimo, como en Roma con los de los cónsules. — [4] Las cuatro que había antes, que eran de carácter gentilicio. — [5] Se refiere a la oración que sigue. — [6] A razón de tres por tribu. — [7] Irreal de pasado. — [8] Acu-

μέρη[8], δέκα μὲν τῶν[9] περὶ τὸ ἄστυ, δέκα δὲ τῆς παραλίας, δέκα δὲ τῆς[10] μεσογείου, καὶ ταύτας ἐπονομάσας τριττῦς ἐκλήρωσεν τρεῖς εἰς τὴν φυλὴν ἑκάστην, ὅπως ἑκάστη μετέχῃ πάντων τῶν τόπων. Καὶ δημότας ἐποίησεν ἀλλήλων τοὺς οἰκοῦντας ἐν ἑκάστῳ τῶν δήμων, ἵνα μὴ πατρόθεν προσαγορεύοντες[11] ἐξελέγχωσιν τοὺς νεοπολίτας, ἀλλὰ τῶν δήμων[12] ἀναγορεύωσιν· ὅθεν καὶ καλοῦσιν Ἀθηναῖοι σφᾶς αὐτοὺς τῶν δήμων.

124.

Epigramas a los caídos en las guerras Médicas

(SIMÓNIDES*, frs. 92, 91, 88 Diehl)

Ὦ ξεῖν', ἀγγέλλειν[1] Λακεδαιμονίοισ' ὅτι τῇδε[2]
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

Μυριάσιν ποτὲ τῇδε τριακοσίαισ' ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι[3]
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

---

sativo interno no etimológico de διένειμε; "en treinta partes". — [9] Neutro: τὰ περὶ τὸ ἄστυ es "las proximidades de la ciudad". Se trata de un genitivo local, antiguo partitivo. — [10] (γῆς). Genitivo del mismo tipo. — [11] Se refiere a una denominación oficial de los ciudadanos que indicara a qué γένος o estirpe pertenecían. — [12] Genitivo de pertenencia. Se refiere a la denominación oficial de los ciudadanos en época clásica, que incluye la mención del δῆμος (local, no gentilicio) a que pertenecen.

124. * Poeta de Ceos (556-460 a. J. C., aproximadamente). Es autor de poemas corales y epigramas. La atribución de los aquí transcritos está sometida a dudas. El dialecto es artificial, como sucede con frecuencia en los líricos: son jonismos ξεῖνε = ξένε; Λακεδαιμονίοισι = Λακεδαιμονίοις; κείνων = ἐκείνων; τριακοσίαισι = τριακοσίαις; y dorismos, Πελοποννάσου = Πελοποννήσου y τέτορες = τέτταρες. — [1] Infinitivo imperativo. — [2] Adverbial. — [3] Dativo locativo sin preposición.

125.

Temístocles y Milcíades

(DEMÓSTENES*, *Contra Aristócrates* 196-197)

Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖν' ἐξετάσαι, πῶς ποθ' οἱ πάλαι τὰς τιμὰς ἔνεμον καὶ τὰς δωρειὰς τοῖς ὡς [1] ἀληθῶς εὐεργέταις, καὶ ὅσοι πολῖται τύχοιεν ὄντες καὶ ὅσοι ξένοι. Κἂν [2] μὲν ἴδητ' ἐκείνους ἄμεινον [3] ὑμῶν, καλὸν τὸ μιμήσασθαι, ἂν δ' ὑμᾶς αὐτούς, ἐφ' [4] ὑμῖν ἔσται τὸ πράττειν. Πρῶτον μὲν τοίνυν ἐκεῖνοι Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν νικήσαντα καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαραθῶνι καὶ πολλοὺς ἄλλους, οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγάθ' εἰργασμένους [5], οὐ χαλκοῦς [6] ἵστασαν οὐδ' ὑπερηγάπων. Οὐκ ἄρα τοῖς ἑαυτοὺς ἀγαθόν τι ποιοῦσιν χάριν εἶχον; Σφόδρα γ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπεδίδοσάν γε καὶ αὐτῶν κἀκείνων ἀξίαν· ὄντες γὰρ πολλοῦ πάντες ἄξιοι, προύκρινον [7] αὑτῶν ἐκείνους ἡγεῖσθαι. Ἔστι δὲ σώφροσιν ἀνθρώποις καὶ πρὸς ἀλήθειαν βουλομένοις σκοπεῖν πολὺ μείζων τιμὴ τῆς χαλκῆς εἰκόνος τὸ καλῶν κἀγαθῶν ἀνδρῶν κεκρίσθαι πρώτους.

---

125. * El más célebre de los oradores atenienses, cabeza de la resistencia antimacedónica de Grecia (murió el 322 a. J. C.). — [1] Refuerza a ἀληθῶς. — [2] Por καὶ ἄν. — [3] Se entiende τὰς τιμὰς νέμοντας. — [4] "En poder de", "bajo la responsabilidad de". — [5] Tradúzcase lo que va entre las dos comas como si fuera un paréntesis. — [6] Adjetivo; se trata de estatuas. — [7] Con complemento directo y genitivo, como verbo que indica superioridad o preferencia de algo (acus.) sobre algo (gen.).

126.

Batalla de Salamina (480 a. J. C.)

(LISIAS, *Epitafio* 32-34)

Οἱ δ' ἡμέτεροι πρόγονοι..., ἡγησάμενοι κρεῖττον[1] εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν[2] ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν· ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας εἰς Σαλαμῖνα συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. Οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων.

127.

Juramento de los griegos antes de la batalla de Platea (479 a. J. C.)

(LICURGO*, *Contra Leócrates* 81)

Οὐ ποιήσομαι περὶ πλείονος[1] τὸ ζῆν τῆς ἐλευθερίας, οὐδ' ἐγκαταλείψω τοὺς ἡγεμόνας οὔτε ζῶντας οὔτε ἀποθανόντας, ἀλλὰ τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶν συμμάχων ἅπαντας θάψω. Καὶ κρατήσας τῷ πολέμῳ τοὺς βαρβάρους, τῶν[2] μὲν μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς δὲ τὰ τοῦ βαρβάρου[3] προελομένας ἁπάσας δεκατεύσω. Καὶ τῶν ἱερῶν τῶν ἐμπρησθέντων

---

126. [1] Atributo neutro, aun siendo femenino el sujeto del infinitivo: cf. latín *uarium et mutabile femina.* — [2] Sobrentendido δύναμιν, "ejército". Alude al ejército de tierra y a la flota.

127. * Hombre de estado ateniense de fines del s. IV a. J. C. — [1] "En más". — [2] Va con μαχεσαμένων... πόλεων. — [3] τὰ τοῦ βαρβάρου es "el partido del bárbaro". — [4] Aposición a (αὐτά).

καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω παντάπασιν, ἀλλ' ὑπόμνημα[4] τοῖς ἐπιγιγνομένοις ἐάσω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.

128.

Fundación de la Liga Marítima (477 a. J. C.)

(TUCÍDIDES, I 96)

Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ ἑκόντων τῶν ξυμμάχων διὰ τὸ Παυσανίου[1] μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον καὶ ἃς ναῦς· πρόσχημα γάρ ἦν ἀμύνεσθαι ὧν[2] ἔπαθον δῃοῦντας τὴν βασιλέως χώραν. Καὶ Ἑλληνοταμίαι[3] τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. Ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα. Ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν[4] ἐγίγνοντο.

129.

Ruptura de Atenas y Esparta (461 a. J. C.)

(TUCÍDIDES, I 102, 1-4)

Λακεδαιμόνιοι δέ, ὡς αὐτοῖς[1] πρὸς τοὺς ἐν Ἰθώμῃ[2] ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ[3] Ἀθηναίους· οἱ δ' ἦλθον Κίμωνος στρατηγοῦντος πλήθει

---

128. [1] Genitivo objetivo. — [2] Genitivo por atracción (por ἐκείνων ἅ). — [3] Aposición a ἀρχή: "la magistratura de los helenotamias". — [4] En vez de ἐν τῷ ἱερῷ, por la idea de movimiento que subyace en la frase.

129. [1] Dativo simpatético. — [2] Los mesenios sublevados que se habían refugiado allí. — [3] "Y también a". — [4] Infinitivo dependiente de un

οὐκ ὀλίγῳ. Μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο, ὅτι τειχομαχεῖν [4] ἐδόκουν δυνατοὶ εἶναι, τοῖς δέ, πολιορκίας μακρᾶς καθεστηκυίας [5], τούτου [6] ἐνδεᾶ ἐφαίνετο· βίᾳ γὰρ ἂν εἶλον τὸ χωρίον [7]. Καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. Οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιίαν, καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι, μή [8] τι, ἢν παραμείνωσιν, ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν, τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δὲ ὅτι *οὐδὲν προσδέονται αὐτῶν ἔτι*. Οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ [9] ἀποπεμπόμενοι [10], ἀλλά τινος [11] ὑπόπτου γενομένου, καὶ δεινὸν ποιησάμενοι καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ [12] ξυμμαχίαν πρὸς αὐτοὺς [13] Ἀργείοις τοῖς ἐκείνων [13] πολεμίοις ξύμμαχοι ἐγένοντο.

130.

Talasocracia ateniense

(JENOFONTE, *Helénicas* VII 1, 3-4)

Πρῶτον μὲν γὰρ τόπον ἔχετε [1] κάλλιστα [2] πεφυκότα πρὸς τοῦτο· πλεῖσται γὰρ πόλεις τῶν δεομένων [3] τῆς θαλάττης

---

adjetivo de capacidad. — [5] Genitivo absoluto. — [6] Depende de ἐνδεᾶ; se refiere al arte de expugnar fortificaciones. — [7] Súplase "en otro caso". — [8] "No fuera que". — [9] "Con buena intención". — [10] Participio predicativo dependiente de ἔγνωσαν: "se dieron cuenta de que...". — [11] Neutro; el genitivo absoluto es causal. — [12] "Contra el medo". — [13] Los lacedemonios.

130. [1] Sujeto: los atenienses. — [2] Adverbial. — [3] Partitivo. — [4] "Ade-

περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, καὶ αὗται πᾶσαι ἀσθενέστεραι τῆς ὑμετέρας. Πρὸς τούτοις[4] δὲ λιμένας ἔχετε, ὧν ἄνευ[5] οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. Ἔτι δὲ τριήρεις κέκτησθε πολλάς, καὶ πάτριον ὑμῖν ἐστι ναυτικὸν ἐπικτᾶσθαι. Ἀλλὰ μὴν τάς γε τέχνας τὰς περὶ ταῦτα πάσας οἰκείας[6] ἔχετε. Καὶ μὴν ἐμπειρίᾳ γε πολὺ προέχετε τῶν ἄλλων περὶ τὰ ναυτικά· ὁ γάρ βίος τοῖς πλείστοις ὑμῶν ἀπὸ τῆς θαλάττης· ὥστε τῶν ἰδίων ἐπιμελόμενοι ἅμα καὶ τῶν κατὰ θάλατταν ἀγώνων ἔμπειροι γίγνεσθε. Ἔτι δὲ καὶ τόδε· οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν ἢ παρ' ὑμῶν. Ἔστι δὲ τοῦτο οὐκ ἐλάχιστον πρὸς ἡγεμονίαν· πρὸς γάρ τὸ πρῶτον[7] ἰσχυρὸν γενόμενον ἥδιστα πάντες συλλέγονται.

131.

Un orador ateniense justifica ante los lacedemonios el imperio de Atenas

(TUCÍDIDES, I 76, 2-3)

Οὕτως οὐδ' ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν οὐδ' ἀπὸ[1] τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδομένην[2] ἐδεξάμεθα καὶ ταύτην μὴ ἀνεῖμεν[3] ὑπὸ τριῶν τῶν μεγίστων νικηθέντες, τιμῆς καὶ δέους καὶ ὠφελίας, οὐδ' αὖ πρῶτοι τοῦ τοιούτου ὑπάρξαντες, ἀλλ' αἰεὶ καθεστῶτος[4] τὸν ἥσσω ὑπὸ τοῦ δυνατωτέρου κατείργεσθαι, ἄξιοί τε ἅμα νομίζον-

---

más de estas cosas". — [5] Preposición tras de su régimen. — [6] Predicativo. — [7] "La primera cosa" (es decir, la primera ciudad).

131. [1] "Ajeno a". — [2] Por los propios jonios, para que Atenas les defendiera contra los persas. — [3] De ἀνίημι. — [4] Genitivo absoluto,

τες εἶναι καὶ ὑμῖν δοκοῦντες, μέχρι οὗ[5] τὰ ξυμφέροντα λογιζόμενοι τῷ δικαίῳ λόγῳ[6] νῦν χρῆσθε, ὃν οὐδείς πω παρατυχὸν[7] ἰσχύι τι κτήσασθαι προθεὶς τοῦ μὴ[8] πλέον ἔχειν[9] ἀπετράπετο. Ἐπαινεῖσθαί τε ἄξιοι[10], οἵτινες χρησάμενοι τῇ ἀνθρωπείᾳ φύσει ὥστε ἑτέρων ἄρχειν δικαιότεροι ἢ κατὰ[11] τὴν ὑπάρχουσαν δύναμιν γένωνται.

132.

Elogio de los antepasados

(DEMÓSTENES, *Tercera Olíntica* 24-26)

Ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες[1] οὐδ' ἐφίλουν[2] αὐτούς, ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων, πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον, ὑπήκουε δ' ὁ ταύτην τὴν χώραν[3] ἔχων αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι[4], πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαι' αὐτοὶ στρατευόμενοι, μόνοι δ' ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. Ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν[5] ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτήν, θεάσασθ' ὁποῖοι[6], ἔν τε τοῖς κοινοῖς κἀν[7] τοῖς ἰδίοις. Δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατ-

---

haciendo κατείργεσθαι de sujeto del participio. — [5] "Hasta que". — [6] "Argumentos basados en la justicia". — [7] Acusativo absoluto, cuyo sujeto es κτήσασθαι. — [8] Pleonástico. — [9] Depende de ἀπετράπετο y va con τοῦ. — [10] Se entiende εἰσί. — [11] "En relación con".

132. [1] "Los oradores". — [2] "Halagaban". — [3] Macedonia. — [4] Entiéndase ὑπακούειν. — [5] "Los asuntos helénicos". — [6] "(Eran)". —

εσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων[8], ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν[9] λελεῖφθαι· ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν καὶ σφόδρ' ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν 'Αριστείδου καὶ τὴν Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρ' οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν· οὐ γὰρ εἰς περιουσίαν ἐπράττετ' αὐτοῖς τὰ τῆς πόλεως[10], ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν.

133.

Elogio de Atenas por Pericles

(TUCÍDIDES, II 37-41, 1)

Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες[1] τισὶν ἢ μιμούμενοι ἑτέρους. Καὶ ὄνομα[2] μὲν διὰ τὸ μὴ ἐς[3] ὀλίγους, ἀλλ' ἐς[3] πλείονας οἰκεῖν δημοκρατία κέκληται... Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει... Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς 'Ελλάδος παίδευσιν εἶναι καὶ καθ' ἕκαστον δοκεῖν ἄν[4] μοι τὸν αὐτὸν ἄνδρα[5] παρ' ἡμῖν ἐπὶ πλεῖστ' ἂν εἴδη[6] καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες[7] παρέχεσθαι.

---

[7] Crasis (καὶ ἐν). — [8] Genitivos apositivos. — [9] "Posibilidad de superación". — [10] "Los asuntos de la ciudad", "la política".

133. [1] Hay cambio de construcción; se esperaría ἐσμέν. — [2] Acusativo de relación (en el origen, parece, nominativo apositivo). — [3] "Apoyándose en", "en un régimen de". — [4] Este ἄν repetido tres veces va con el παρέχεσθαι final, cuyo valor potencial se anuncia así de antemano. — [5] "Un mismo varón". — [6] "En más aspectos". — [7] Predicativo.

134.

Caracteres de Atenas y Esparta

(TUCÍDIDES, I 70, 2-4)

Οἱ μέν [1] γε νεωτεροποιοὶ καὶ ἐπινοῆσαι [2] ὀξεῖς καὶ ἐπιτελέσαι [2] ἔργῳ ἃ ἂν γνῶσιν· ὑμεῖς δὲ [3] τὰ ὑπάρχοντά τε σῴζειν [2] καὶ ἐπιγνῶναι [2] μηδὲν καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι [2]. Αὖθις δὲ οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταὶ καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον [4] τῆς τε δυνάμεως ἐνδεᾶ [5] πρᾶξαι τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι τῶν τε δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι. Καὶ μὴν καὶ ἄοκνοι [6] πρὸς ὑμᾶς μελλητὰς καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους· οἴονται γὰρ οἱ μὲν τῇ ἀπουσίᾳ [7] ἄν τι κτᾶσθαι [8], ὑμεῖς δὲ τῷ ἐξελθεῖν [7] καὶ τὰ ἑτοῖμα ἂν βλάψαι.

135.

Atenas, madre de las leyes

(ISÓCRATES*, *Panegírico* 39-40)

Παραλαβοῦσα [1] γὰρ τοὺς Ἕλληνας ἀνόμως ζῶντας καὶ σποράδην οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ δυναστειῶν ὑβριζομένους, τοὺς δὲ δι' ἀναρχίαν ἀπολλυμένους, καὶ τούτων τῶν κακῶν αὐτοὺς ἀπήλλαξε, τῶν μὲν κυρία γενομένη, τοῖς δ' αὐτὴν παράδειγμα ποιήσασα· πρώτη μὲν γὰρ [2] νό-

---

134. [1] Los atenienses — [2] Infinitivos dependientes del adjetivo ὀξεῖς ("rápidos para..."). — [3] Los lacedemonios. — [4] "Lo propio de vosotros (es)". — [5] Construido con genitivo comparativo. — [6] (εἰσί). — [7] Instrumental. — [8] Infinitivo potencial con ἄν.

135. * Maestro del género oratorio epidíctico o de aparato. Llevó a su perfección la prosa oratoria y propugnó una política panhelénica (436-338 a. J. C.). — [1] La ciudad de Atenas. — [2] No es "porque", sino

μους ἔθετο καὶ πολιτείαν κατεστήσατο. Δῆλον δ' ἐκεῖθεν[3]· οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φονικῶν ἐγκαλέσαντες καὶ βουληθέντες[4] μετὰ λόγου καὶ μὴ μετὰ βίας διαλύσασθαι τὰ πρὸς ἀλλήλους, ἐν[5] τοῖς νόμοις τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο περὶ αὐτῶν.

136.

Significado espiritual de la palabra "helenos"

(ISÓCRATES, *Panegírico* 50)

Τοσοῦτον δ' ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους[1], ὥσθ' οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι, καὶ τὸ τῶν Ἑλλήνων ὄνομα[2] πεποίηκε[3] μηκέτι τοῦ γένους ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι, καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας ἢ τοὺς τῆς κοινῆς φύσεως μετέχοντας.

137.

Los demagogos atenienses

(ARISTÓTELES, *Const. At.* XXVIII 1-3)

Ἕως μὲν οὖν Περικλῆς προειστήκει τοῦ δήμου βελτίω τὰ κατὰ τὴν πολιτείαν ἦν, τελευτήσαντος δὲ Περικλέους πολὺ χείρω. Πρῶτον γὰρ τότε προστάτην ἔλαβεν ὁ δῆμος οὐκ εὐδοκιμοῦντα παρὰ τοῖς ἐπιεικέσιν[1]· ἐν δὲ τοῖς πρότερον χρόνοις ἀεὶ διετέλουν οἱ ἐπιεικεῖς δημαγωγοῦντες[2].

"a saber". — [3] "Por lo que sigue". — [4] Pasiva de un deponente con valor igual al de la media. — [5] "De acuerdo con".

136. [1] Complemento directo de ἀπολέλοιπεν. — [2] τό... ὄνομα es el sujeto de εἶναι. — [3] De este verbo dependen δοκεῖν y καλεῖσθαι.

137. [1] Designa a los miembros del partido aristocrático. — [2] Participio predicativo que forma una perífrasis con διετέλουν: "fueron jefes del

᾿Εξ ἀρχῆς μὲν γὰρ καὶ πρῶτος ἐγένετο προστάτης τοῦ δήμου Σόλων, δεύτερος δὲ Πεισίστρατος, τῶν εὐγενῶν καὶ γνωρίμων[1]· καταλυθείσης δὲ τῆς τυραννίδος Κλεισθένης[3], τοῦ γένους ὢν τῶν ᾿Αλκμεωνιδῶν, καὶ τούτῳ μὲν οὐδεὶς ἦν ἀντιστασιώτης, ὡς ἐξέπεσον οἱ περὶ τὸν ᾿Ισαγόραν[4]. Μετὰ δὲ ταῦτα τοῦ μὲν δήμου προειστήκει Ξάνθιππος, τῶν δὲ γνωρίμων[1] Μιλτιάδης, ἔπειτα Θεμιστοκλῆς καὶ ᾿Αριστείδης· μετὰ δὲ τούτους ᾿Εφιάλτης μὲν τοῦ δήμου, Κίμων δ' ὁ Μιλτιάδου τῶν εὐπόρων[1]· εἶτα Περικλῆς μὲν τοῦ δήμου, Θουκυδίδης δὲ τῶν ἑτέρων, κηδεστὴς ὢν Κίμωνος. Περικλέους δὲ τελευτήσαντος τῶν μὲν ἐπιφανῶν[1] προειστήκει Νικίας ὁ ἐν Σικελίᾳ τελευτήσας, τοῦ δὲ δήμου Κλέων ὁ Κλεαινέτου, ὃς δοκεῖ μάλιστα διαφθεῖραι τὸν δῆμον ταῖς ὁρμαῖς[5], καὶ πρῶτος ἐπὶ τοῦ βήματος ἀνέκραγε καὶ ἐλοιδορήσατο καὶ περιζωσάμενος[6] ἐδημηγόρησε, τῶν ἄλλων ἐν κόσμῳ λεγόντων.

138.

Justificación de la democracia ateniense

(Pseudo-Jenofonte*, *Constitución de Atenas* I 2)

Δικαίως αὐτόθι[1] καὶ οἱ πένητες καὶ ὁ δῆμος πλέον[2] ἔχει τῶν γενναίων[3] καὶ τῶν πλουσίων διὰ τόδε, ὅτι ὁ

---

pueblo sin interrupción". — [3] (ἐγένετο προστάτης τοῦ δήμου). — [4] "Iságoras y los suyos", que se opusieron al programa democrático de Clístenes. — [5] "Con sus arranques o apasionamiento". — [6] Es decir, pasando el ἱμάτιον por debajo de la axila derecha y dejando el brazo fuera, lo cual era tenido por postura incorrecta.

138. * La *Constitución de Atenas,* atribuida a Jenofonte por los manuscritos, es en realidad obra de un partidario de la oligarquía, que la escribió poco antes del comienzo de la guerra del Peloponeso. —

δῆμός ἐστιν ὁ ἐλαύνων τάς ναῦς καὶ ὁ τὴν δύναμιν περιτιθεὶς τῇ πόλει, καὶ οἱ κυβερνῆται καὶ οἱ κελευσταὶ καὶ οἱ πεντηκόνταρχοι καὶ οἱ πρῳρᾶται καὶ οἱ ναυπηγοί, οὗτοί εἰσιν οἱ τὴν δύναμιν περιτιθέντες τῇ πόλει πολὺ μᾶλλον ἢ οἱ ὁπλῖται καὶ οἱ γενναῖοι [3] καὶ οἱ χρηστοί [3]. Ἐπειδὴ οὖν ταῦτα οὕτως ἔχει, δοκεῖ δίκαιον εἶναι πᾶσι τῶν ἀρχῶν [4] μετεῖναι ἔν τε τῷ κλήρῳ καὶ ἐν τῇ χειροτονίᾳ, καὶ λέγειν ἐξεῖναι τῷ βουλομένῳ τῶν πολιτῶν.

139.

Pericles

(Tucídides, II 65, 5-7)

Ὅσον τε γάρ χρόνον προύστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν αὐτήν, καὶ ἐγένετο ἐπ' ἐκείνου [1] μεγίστη, ἐπειδή τε ὁ πόλεμος κατέστη, ὁ δὲ [2] φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν [3]. Ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ μῆνας· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ ἐς τόν πόλεμον. Ὁ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει [4] κινδυνεύοντας ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον [5] ἔπραξαν καὶ ἄλλα [6] ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν.

---

[1] En Atenas. — [2] Más poder, se entiende. — [3] En sentido político (referido a los aristócratas). — [4] "Los cargos públicos".

139. [1] "Bajo él", "en su tiempo". — [2] "Él"; δέ no tiene valor propio, lo que es excepcional. — [3] (τῆς πόλεως). — [4] "En unión de la ciudad", "comprometiendo a la ciudad". — [5] Crasis por τό ἐναντίον. [6] Depende de ἐπολίτευσαν.

140.

Sócrates salva la vida a Alcibiades (¿432 a. J. C.?)

(PLATÓN, *Banquete* 220 D-E)

Ὅτε γάρ ἡ μάχη ἦν ἐξ ἧς[1] ἐμοὶ[2] καὶ[3] τἀριστεῖα[4] ἔδοσαν οἱ στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων ἢ οὗτος, τετρωμένον οὐκ ἐθέλων ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν ἐμέ. Καὶ ἐγὼ μέν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀριστεῖα τοὺς στρατηγούς, καὶ τοῦτό γέ μοι οὔτε μέμψῃ οὔτε ἐρεῖς ὅτι ψεύδομαι· ἀλλὰ γὰρ τῶν στρατηγῶν πρός τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου[5] τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν.

141.

Exhortación de Arquidamo a los peloponesios al invadir el Ática (431 a. J. C.)

(TUCÍDIDES, II 11, 1-2)

Ἄνδρες Πελοποννήσιοι καὶ ξύμμαχοι, καὶ[1] οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ[2] ἐν αὐτῇ τῇ Πελοποννήσῳ καὶ[2] ἔξω ἐποιήσαντο, καὶ[1] ἡμῶν αὐτῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅμως δὲ τῆσδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν, ἀλλὰ καὶ[3] ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα καὶ[3] αὐτοὶ πλεῖστοι καὶ ἄριστοι στρα-

---

140. [1] "A consecuencia de la cual". — [2] A Alcibíades, que es quien habla. — [3] Subraya la coincidencia. — [4] Crasis por τὰ ἀριστεῖα. — [5] προθυμότερος ἐγένου equivale a un verbo de deseo, con construcción de infinitivo.

141. [1] [2] [3] Los dos καί marcados con cada número son correlativos.

τεύοντες. Δίκαιον οὖν ἡμᾶς μήτε τῶν πατέρων χείρους φαίνεσθαι μήτε ἡμῶν αὐτῶν [4] τῆς δόξης ἐνδεεστέρους. Ἡ γὰρ Ἑλλὰς πᾶσα τῇδε τῇ ὁρμῇ [5] ἐπῆρται καὶ προσέχει τὴν γνώμην, εὔνοιαν ἔχουσα [6] διὰ τὸ Ἀθηναίων [7] ἔχθος πρᾶξαι ἡμᾶς ἃ ἐπινοοῦμεν.

142.

Victoria ateniense en Pilos (425 a. J. C.)

(Tucídides, IV 38, 3-5)

Καὶ ἐκείνων [1] μὲν οὐδένα ἀφέντων [2], αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρίς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι [3] «Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι μηδὲν αἰσχρὸν ποιοῦντας [4]». Οἱ δὲ καθ' ἑαυτοὺς βουλευσάμενοι τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς. Καὶ ταύτην μὲν τὴν ἡμέραν [5] καὶ τὴν ἐπιοῦσαν νύκτα [5] ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ τἆλλα διεσκευάζοντο ὡς [6] ἐς πλοῦν καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διέδοσαν ἐς φυλακήν, οἱ δὲ Λακεδαιμόνιοι κήρυκα πέμψαντες τοὺς νεκροὺς διεκομίσαντο. Ἀπέθανον δ' ἐν

---

[4] Dependiente de τῆς δόξης. — [5] Dativo agente. — [6] εὔνοιαν ἔχουσα equivale a un verbo de voluntad y lleva infinitivo. — [7] Objetivo.

142. [1] Partitivo dependiente de οὐδένα; se refiere a los lacedemonios sitiados en la isla de Esfacteria, junto a Pilos. — [2] Genitivo absoluto; sujeto, (τῶν Ἀθηναίων). — [3] Anuncia que se pasa al estilo directo; equivale a nuestros dos puntos. — [4] En boca de un espartano esto equivale a exigir la resistencia hasta la muerte; pero los sitiados lo entendieron de otra manera. — [5] Acusativo de tiempo. — [6] Da matiz subjetivo:

τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν[7] καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ[8] ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλλοι ἀπέθανον. Καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων[9] δὲ οὐ πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδαία ἦν.

143.

Texto parcial de la paz de Nicias (421 a. J. C.)

(TUCÍDIDES, V 18, 1-4)

Σπονδὰς ἐποιήσαντο Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι κατὰ τάδε[1], καὶ ὤμοσαν κατὰ πόλεις. Περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν, θύειν ἐξεῖναι[2] καὶ μαντεύεσθαι καὶ θεωρεῖν κατὰ τὰ πάτρια τὸν βουλόμενον καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀδεῶς. Τό δ' ἱερὸν καὶ τὸν νεὼν τόν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος καὶ Δελφοὺς αὐτονόμους εἶναι καὶ αὐτοτελεῖς καὶ αὐτοδίκους καὶ αὐτῶν[3] καὶ τῆς γῆς[3] τῆς ἑαυτῶν κατὰ τὰ πάτρια. Ἔτη[4] δὲ εἶναι τὰς σπονδὰς πεντήκοντα Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις τοῖς Ἀθηναίων καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις τοῖς Λακεδαιμονίων ἀδόλους καὶ ἀβλαβεῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους[5] ἐπ' Ἀθηναίους καὶ τοὺς

"como para...". — [7] A la isla desde el continente, al comienzo de la acción. — [8] Depende de ἀποδέοντες; iría en genitivo partitivo si fuera forma flexionada. — [9] Genitivo partitivo dependiente de οὐ πολλοί.

143. [1] "En los siguientes términos". — [2] Aposición a τάδε; sus sujetos son los infinitivos que preceden y siguen. — [3] Genitivo de relación: "en cuanto a...". — [4] Acusativo de tiempo; va con πεντήκοντα. — [5] Sujeto de ἐπιφέρειν.

ξυμμάχους μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους[5] ἐπὶ Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους, μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ. Ἢν δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους, δίκαις χρήσθων καὶ ὅρκοις, καθ' ὅ τι ἂν ξυνθῶνται.

144.

Mutilación de los Hermes (415 a. J. C.)

(TUCÍDIDES, VI 27, 1 - 28, 1)

Ἐν δὲ τούτῳ[1], ὅσοι Ἑρμαῖ[2] ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων (εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον[3] πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς) μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα[4]. Καὶ τοὺς δράσαντας ᾔδει οὐδείς, ἀλλὰ μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο καὶ προσέτι ἐψηφίσαντο[5], καὶ εἴ τις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν καὶ ξένων καὶ δούλων. Καὶ τὸ πρᾶγμα μειζόνως[6] ἐλάμβανον· τοῦ τε γὰρ ἔκπλου[7] οἰωνὸς ἐδόκει εἶναι, καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων καὶ δήμου καταλύσεως[8] γεγενῆσθαι. Μηνύεται οὖν ἀπὸ[9] μετοίκων τέ τινων καὶ ἀκολούθων περὶ μὲν τῶν Ἑρμῶν οὐδέν, ἄλλων δὲ ἀγαλμάτων περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς[10] ποιεῖται[11] ἐν οἰκίαις ἐφ' ὕβρει[12]· ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπῃτιῶντο.

---

144. [1] Neutro. — [2] Bustos de Hermes. — [3] "Según la costumbre local". — [4] En activa sería acusativo de cosa. — [5] Cambio de sujeto. — [6] "Con gran interés". — [7] La expedición ateniense a Sicilia, durante la guerra del Peloponeso. — [8] Genitivos apositivos (salvo δήμου) dependientes de ξυνωμοσίᾳ. — [9] Equivalente a ὑπό. — [10] Depende de μηνύεται. — [11] Pasiva. — [12] "Por burla".

145.

Derrota ateniense ante Siracusa (413 a. J. C.)

(TUCÍDIDES, VII 72 - 73, 1)

Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τροπαῖον ἔστησαν. Οἱ δ' Ἀθηναῖοι ὑπὸ μεγέθους τῶν παρόντων κακῶν νεκρῶν μὲν πέρι[1] ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς[2] ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν γνώμην ἐποιεῖτο[3] πληρώσαντας[4] ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι, ἢν δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν, λέγων ὅτι πλείους[5] αἱ λοιπαὶ νῆες χρήσιμαι σφίσιν[6] ἢ τοῖς πολεμίοις[6]· ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα. Καὶ ξυγχωροῦντος Νικίου τῇ γνώμῃ καὶ βουλομένων πληροῦν αὐτῶν[7] οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν διὰ τὸ καταπεπλῆχθαί τε τῇ ἥσσῃ[8] καὶ μὴ ἂν[9] ἔτι οἴεσθαι κρατῆσαι. Καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες[10] ἤδη ξύμπαντες τὴν γνώμην εἶχον.

---

145. [1] Rige dos genitivos, νεκρῶν y ναυαγίων (caso de anástrofe; nótese el acento). — [2] Genitivo de tiempo. — [3] γνώμην ἐποιεῖτο es una perífrasis que equivale a un verbo *dicendi* como "propuso", seguido de infinitivo. — [4] Participio con el sujeto implícito de βιάσασθαι (ellos, los atenienses). — [5] (εἰσίν). — [6] Dativo posesivo. — [7] Los generales. — [8] Instrumental. — [9] Se refiere a κρατῆσαι, al que da valor potencial. — [10] "En la idea de que..." (matiz subjetivo de ὡς).

146.

Crueldad de los tracios (413 a. J. C.)

(TUCÍDIDES, VII 29, 4-5)

'Εσπεσόντες δὲ οἱ Θρᾷκες ἐς τὴν Μυκαλησσὸν τάς τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν, καὶ τοὺς ἀνθρώπους ἐφόνευον φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἑξῆς, ὅτῳ [1] ἐντύχοιεν [2], καὶ παῖδας καὶ γυναῖκας κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν [2]. Τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν ὁμοῖα [3] τοῖς μάλιστα τοῦ βαρβαρικοῦ, ἐν ᾧ [4] ἂν θαρσήσῃ, φονικώτατόν ἐστιν. Καὶ τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα καθειστήκει ὀλέθρου, καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων, ὅπερ μέγιστον ἦν αὐτόθι καὶ ἄρτι [5] ἔτυχον οἱ παῖδες ἐσεληλυθότες, κατέκοψαν πάντας.

147.

Corrupción de las costumbres por la guerra

(TUCÍDIDES, III 82, 2-4)

Καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα... καὶ αἰεὶ ἐσόμενα ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ... 'Εν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας [1] πίπτειν· ὁ δὲ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν [2] βίαιος διδάσκα-

146. [1] Singular por construcción *ad sensum*. — [2] Iterativo. — [3] Adverbial. — [4] "En lo que", "cuando". — [5] No se repite el relativo (entiéndase ἐς ὃ ἄρτι).

147. [1] "Situaciones de necesidad apremiante". — [2] "De la vida dia-

λος... Καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα[3] ἀντήλλαξαν τῇ δικαιώσει[4]. Τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ σῶφρον[5] τοῦ ἀνάνδρου[5] πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν· τὸ δ' ἐμπλήκτως ὀξὺ ἀνδρὸς μοίρᾳ προσετέθη.

148.

Derrota de Egospótamos (405 a. J. C.)

(JENOFONTE, *Helénicas* II 2, 3-4)

Ἐν δὲ ταῖς Ἀθήναις τῆς Παράλου ἀφικομένης νυκτὸς ἐλέγετο ἡ συμφορά, καὶ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν[1] εἰς ἄστυ διῆκεν, ὁ ἕτερος[2] τῷ ἑτέρῳ παραγγέλλων· ὥστ' ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πολὺ μᾶλλον ἔτι αὐτοὶ ἑαυτούς, πείσεσθαι[3] νομίζοντες οἷα ἐποίησαν[4] Μηλίους τε Λακεδαιμονίων ἀποίκους ὄντας, κρατήσαντες πολιορκίᾳ, καὶ Ἱστιαιέας καὶ Σκιωναίους καὶ Τορωναίους καὶ Αἰγινήτας καὶ ἄλλους πολλοὺς τῶν Ἑλλήνων. Τῇ δ' ὑστεραίᾳ ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε λιμένας ἀποχῶσαι πλὴν ἑνός, καὶ τὰ τείχη εὐτρεπίζειν καὶ φυλακὰς ἐφιστάναι καὶ τἆλλα πάντα[5] ὡς εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν.

---

ria". — [3] ἀξίωσιν... ἐς τὰ ἔργα es "aplicación... con relación a las cosas". — [4] "Para (su) justificación". — [5] Equivalente a un abstracto.

148. [1] Los muros largos unían el Pireo a Atenas. — [2] Nominativo absoluto (anacoluto). — [3] De πάσχω. — [4] Tradúzcase por pluscuamperfecto. — [5] Acusativo de relación.

149.

Capitulación de Atenas ante Esparta (404 a. J. C.)

(JENOFONTE, *Helénicas* II 2, 19-23)

Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις, ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι δὲ ἐπὶ τίνι λόγῳ[1] ἥκοιεν εἶπον[2] ὅτι αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ ἔφοροι καλεῖν ἐκέλευον αὐτούς. Ἐπεὶ δ' ἧκον, ἐκκλησίαν ἐποίησαν[3], ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν[4] πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις τῇ Ἑλλάδι, ἀλλ' ἐποιοῦντο[5] εἰρήνην ἐφ' ᾧ[6] τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ[7] καθελόντας καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας καὶ τοὺς φυγάδας καθέντας τὸν αὐτὸν ἐχθρὸν[8] καὶ φίλον[8] νομίζοντας Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὅποι ἂν ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανέφερον ταῦτα εἰς τὰς Ἀθήνας. Εἰσιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολύς, φοβούμενοι[9] μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. Τῇ δὲ ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη περιαιρεῖν. Ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ

---

149. 1 "En qué concepto". — 2 Depende aún de ἐπεί. — 3 Cambio de sujeto. — 4 "Se negaron a". — 5 Imperfecto de conato: "hacían", "se prestaban a hacer". — 6 "Bajo la condición de que"; lleva el infinitivo ἕπεσθαι, cuyo sujeto es τοὺς Ἀθηναίους, que se sobrentiende. — 7 Entiéndase las instalaciones portuarias del Pireo. — 8 Predicativo. — 9 En concordancia *ad sensum* con ὄχλος. — 10 "Al son de".

πλειόνων συνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ καὶ οἱ φυγάδες κατῆσαν καὶ τὰ τείχη κατέσκαπτον ὑπ' [10] αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

150.

Régimen de los Treinta Tiranos (404-403 a. J. C.)

(LISIAS, *Contra Eratóstenes* 5-7)

Ἐπειδὴ δ' οἱ τριάκοντα πονηροὶ καὶ συκοφάνται ὄντες εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι [1] τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι, τοιαῦτα λέγοντες [2] οὐ τοιαῦτα ποιεῖν ἐτόλμων [3], ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ [4] πρῶτον εἰπὼν καὶ [5] περὶ τῶν ὑμετέρων ἀναμνῆσαι πειράσομαι. Θέογνις γὰρ καὶ Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων, ὡς εἶέν τινες τῇ πολιτείᾳ ἀχθόμενοι· καλλίστην οὖν εἶναι [6] πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν [7], τῷ δ' ἔργῳ χρηματίζεσθαι [7]· πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι [6], τὴν δ' ἀρχὴν δεῖσθαι [6] χρημάτων. Καὶ τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον· ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους περὶ οὐδενὸς ἡγοῦντο [8], λαμβάνειν δὲ χρήματα περὶ πολλοῦ ἐποιοῦντο [9]. Ἔδοξεν [10] οὖν αὐτοῖς δέκα συλλαβεῖν, τούτων [11] δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους

---

150. [1] Lleva como sujetos dos infinitivos, ποιῆσαι y τραπέσθαι. — [2] Concesivo. — [3] "Se resignaron". — [4] "Sobre mis propios asuntos". — [5] "También", "después". — [6] Depende del ἔλεγον anterior. — [7] En griego se dice "era un magnífico pretexto el parecer...". — [8] "No le daban importancia alguna al matar". — [9] "Se la daban muy grande al...". — [10] "(Oportuno)". — [11] Partitivo. — [12] "Para tener con ello

ἀπολογία, ὡς[12] οὐ χρημάτων ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα[13] τῇ πολιτείᾳ γεγένηται, ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες[14].

151.

Batalla de Cunaxa (401 a. J. C.)

(JENOFONTE, *Anábasis* I 8, 17-19)

Καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην τὼ φάλαγγε[1] ἀπ᾽ ἀλλήλων, ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες καὶ ἤρχοντο[2] ἀντίοι ἰέναι τοῖς πολεμίοις. Ὡς δὲ πορευομένων[3] ἐξεκύμαινέ τι τῆς φάλαγγος, τὸ ὑπολειπόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες οἷον τῷ Ἐνυαλίῳ[4] ἐλελίζουσι[5], καὶ πάντες δὲ ἔθεον. Λέγουσι δέ τινες ὡς καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν φόβον ποιοῦντες τοῖς ἵπποις. Πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. Καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ δρόμῳ θεῖν, ἀλλ᾽ ἐν τάξει ἕπεσθαι.

152.

Muerte de Ciro el Joven (401 a. J. C.)

(JENOFONTE, *Anábasis* I 8, 25-27)

Ὡς δ᾽ ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι[1] εἰς τὸ διώκειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι

---

una justificación... de que". — [13] Predicado. — [14] "Como si en los demás casos hubieran necesitado de tan bellas excusas".

151. [1] Los mercenarios griegos de Ciro, pretendiente al trono de Persia, y las tropas persas del rey Artajerjes. — [2] De ἄρχομαι. — [3] Va sobrentendido αὐτῶν. — [4] "En honor de Enialio". — [5] Impersonal.

ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. Σὺν τούτοις δὲ ὢν καθορᾷ βασιλέα[2] καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπὼν «Τὸν ἄνδρ' ὁρῶ» ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρός, καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι. Παίοντα δ' αὐτὸν[3] ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι[4] καὶ βασιλεὺς καὶ Κῦρος καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρων, ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνῃσκον Κτησίας λέγει· παρ' ἐκείνῳ γὰρ ἦν· Κῦρος δὲ αὐτός τε ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ.

153.

Retrato de Próxeno

(Jenofonte, *Anábasis* II 6, 16-19)

Πρόξενος δὲ ὁ Βοιώτιος εὐθὺς μὲν μειράκιον ὢν[1] ἐπεθύμει γενέσθαι ἀνὴρ τὰ μεγάλα πράττειν[2] ἱκανός· καὶ διὰ ταύτην τὴν ἐπιθυμίαν ἔδωκε Γοργίᾳ ἀργύριον[3] τῷ Λεοντίνῳ. Ἐπεὶ δὲ συνεγένετο ἐκείνῳ, ἱκανὸς νομίσας ἤδη εἶναι καὶ ἄρχειν[2] καὶ φίλος ὢν τοῖς πρώτοις[4] μὴ ἡττᾶσθαι[2] εὐεργετῶν, ἦλθεν εἰς ταύτας τὰς σὺν Κύρῳ πράξεις· καὶ ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα μέγα καὶ δύναμιν μεγάλην καὶ χρήματα πολλά· τοσούτων δ' ἐπιθυμῶν σφόδρα ἔνδηλον αὖ καὶ τοῦτο εἶχεν, ὅτι τούτων οὐδὲν ἂν θέλοι

152. [1] Una tropa escogida. — [2] Su hermano Artajerjes, al que pretendía destronar. — [3] Ciro. — [4] Nominativo absoluto (la construcción se interrumpe a partir de ὁπόσοι).

153. [1] εὐθύς... ὢν es "tan pronto... como fue". — [2] Depende de ἱκανός. — [3] Como pago de sus enseñanzas. — [4] Los próceres. — [5] (ἦν).

κτᾶσθαι μετὰ ἀδικίας, ἀλλὰ σὺν τῷ δικαίῳ καὶ καλῷ ᾤετο δεῖν τούτων τυγχάνειν, ἄνευ δὲ τούτων μή. Ἄρχειν δὲ καλῶν μὲν καὶ ἀγαθῶν δυνατὸς ἦν· οὐ μέντοι οὔτ' αἰδῶ τοῖς στρατιώταις ἑαυτοῦ οὔτε φόβον ἱκανός[5] ἐμποιῆσαι.

154.

Llegada de los Diez Mil al mar (401 a. J. C.)

(Jenofonte, *Anábasis* IV 7, 20-25)

Ἐλθὼν δ' ἐκεῖνος λέγει ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον ὅθεν ὄψονται θάλατταν· εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. Καὶ ἡγούμενος ἐπειδὴ ἐνέβαλλεν εἰς τὴν[1] πολεμίαν[2], παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον ἐγένετο ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ τῆς τῶν Ἑλλήνων[3] εὐνοίας. Καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. Ἐπεὶ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους καὶ κατεῖδον τὴν θάλατταν, κραυγὴ πολλὴ ἐγένετο. Ἀκούσας δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες ᾠήθησαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ ὄπισθεν οἱ ἐκ τῆς καομένης χώρας, καὶ αὐτῶν[4] οἱ ὀπισθοφύλακες ἀπέκτεινάν τέ τινας καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι, καὶ γέρρα ἔλαβον δασειῶν βοῶν ὠμοβόεια ἀμφὶ τὰ εἴκοσιν. Ἐπειδὴ δὲ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ[5] ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας καὶ πολλῷ[6] μείζων ἐγίγνετο ἡ βοὴ ὅσῳ[6] δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι, καὶ ἀναβὰς ἐφ' ἵππον καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλα-

---

154. [1] (γῆν). — [2] De su pueblo, se entiende. — [3] Objetivo. — [4] Depende de τινάς. — [5] "Sucesivamente". — [6] Dativo de medida en función adverbial. — [7] La exclamación es transmitida como una consigna.

βῶν παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν «Θάλαττα, θάλαττα» καὶ παρεγγυώντων [7]. Ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τά ὑποζύγια ἠλαύνετο καὶ οἱ ἵπποι. Ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύοντες.

155.

Comparación de Agesilao y el Rey de Persia

(JENOFONTE, *Agesilao* IX 1-3)

Ἀλλὰ μὴν ἐρῶ γε ὡς καὶ τὸν τρόπον [1] ὑπεστήσατο τῇ τοῦ Πέρσου ἀλαζονείᾳ. Πρῶτον μὲν γὰρ ὁ μὲν [2] τῷ [3] σπανίως ὁρᾶσθαι ἐσεμνύνετο, Ἀγησίλαος δὲ τῷ ἀεὶ ἐμφανὴς εἶναι ἠγάλλετο, νομίζων αἰσχρουργίᾳ [4] μὲν τὸ ἀφανίζεσθαι πρέπειν, τῷ δὲ εἰς κάλλος βίῳ [5] τὸ φῶς [6] μᾶλλον κόσμον παρέχειν. Ἔπειτα δὲ ὁ μὲν [2] τῷ δυσπρόσοδος εἶναι ἐσεμνύνετο, ὁ δὲ τῷ πᾶσιν εὐπρόσοδος εἶναι ἔχαιρε· καὶ ὁ μὲν [2] ἡβρύνετο τῷ βραδέως διαπράττειν, ὁ δὲ τότε μάλιστα ἔχαιρεν ὁπότε τάχιστα τυχόντας [7] ὧν δέοιντο ἀποπέμποι. Ἀλλὰ μὴν καὶ τὴν εὐπάθειαν δσῳ [8] ῥᾴονα καὶ εὐπορωτέραν Ἀγησίλαος ἐπετήδευσεν, ἄξιον κατανοῆσαι. Τῷ μὲν γὰρ Πέρσῃ πᾶσαν γῆν περιέρχονται [9] μαστεύοντες τί ἂν ἡδέως πίοι, μυρίοι δὲ τεχνῶνται τί ἂν ἡδέως φάγοι· ὅπως [10] γε

---

155. [1] Acusativo de relación. — [2] "El uno", esto es, el rey de Persia. — [3] Va con ὁρᾶσθαι. Nótense los frecuentes infinitivos sustantivados con artículo. — [4] Depende de πρέπειν, cuyo sujeto es τὸ ἀφανίζεσθαι. — [5] τῷ... εἰς κάλλος βίῳ, "a la vida (dirigida) hacia el bien". — [6] Sujeto de infinitivo. — [7] Súplase "a sus visitantes" .— [8] Dativo de medida en función adverbial. Depende de κατανοῆσαι. — [9] Impersonal. — [10] Introduce una subordinada dependiente de πραγματεύονται.

μὴν καταδάρθοι οὐδ' ἂν εἴποι τις ὅσα πραγματεύονται. Ἀγησίλαος δὲ διὰ τὸ φιλόπονος εἶναι πᾶν μὲν τὸ παρὸν ἡδέως ἔπινε, πᾶν δὲ τὸ συντυχὸν ἡδέως ἤσθιεν· εἰς δὲ τὸ ἀσμένως κοιμηθῆναι πᾶς τόπος ἱκανὸς ἦν αὐτῷ.

156.

Batalla de Coronea (394 a. J. C.)

(Jenofonte, *Agesilao* II 9-13)

Διηγήσομαι δὲ καὶ τὴν μάχην· καὶ γὰρ ἐγένετο οἵαπερ οὐκ ἄλλη τῶν ἐφ' ἡμῶν[1]. Συνῆσαν μὲν γὰρ εἰς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγησιλάῳ[2] ἀπὸ τοῦ Κηφισοῦ, οἱ δὲ σὺν τοῖς Θηβαίοις ἀπὸ τοῦ Ἑλικῶνος. Ἑώρων δὲ τάς τε φάλαγγας ἀλλήλων μάλα ἰσοπάλους, σχεδὸν δὲ καὶ οἱ ἱππεῖς ἦσαν ἑκατέρων ἰσοπληθεῖς. Εἶχε δὲ Ἀγησίλαος μὲν τὸ δεξιὸν τοῦ μεθ' ἑαυτοῦ, Ἐρχομένιοι δὲ ἔσχατοι ἦσαν αὐτῷ τοῦ εὐωνύμου. Οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιοὶ ἦσαν, Ἀργεῖοι δ' αὐτοῖς[3] τὸ εὐώνυμον εἶχον... ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφιλόγως, οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα· ἐξὸν[4] γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας ἑπομένῳ χειροῦσθαι τοὺς ὄπισθεν οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέρραξε τοῖς Θηβαίοις. Καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνῃσκον. Καὶ κραυγὴ μὲν οὐδεμία παρῆν, οὐ μὴν οὐδὲ σιγή, φωνὴ δέ τις ἦν τοιαύτη οἵαν ὀργή τε καὶ μάχη παράσχοιτ' ἄν. Τέλος δὲ τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολλοὶ δ' ἀποχωροῦντες ἀπέθανον. Ἐπειδὴ δὲ ἡ μὲν νίκη σὺν Ἀγησιλάῳ ἐγένετο, τετρωμένος δ' αὐτὸς προσηνέχθη πρὸς τὴν φάλαγγα, προσ-

---

156. [1] "En nuestro tiempo". — [2] "Los de Agesilao". — [3] Dativo sim-

ελάσαντές τινες τῶν ἱππέων λέγουσιν αὐτῷ ὅτι τῶν πολεμίων ὀγδοήκοντα σὺν τοῖς ὅπλοις ὑπὸ τῷ νεῷ εἰσι, καὶ ἠρώτων τί χρὴ ποιεῖν. Ὁ δὲ καίπερ πολλὰ τραύματα ἔχων [5] πάντοσε καὶ παντοίοις ὅπλοις ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν [6] τε ἀπιέναι ὅποι βούλοιντο ἐκέλευε καὶ ἀδικεῖν οὐκ εἴα, καὶ προπέμψαι [6] ἐπέταξε τοὺς ἀμφ' αὐτὸν ἱππέας ἔστε ἐν τῷ ἀσφαλεῖ ἐγένοντο.

157.

Conón reconstruye las murallas de Atenas (393 a. J. C.)

(JENOFONTE, *Helénicas* IV 8, 9-10)

Λέγοντος δὲ τοῦ Κόνωνος ὡς εἰ ἐῴη [1] αὐτὸν ἔχειν τὸ ναυτικόν, θρέψοι [2] μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα συναναστήσοι [2] τά τε μακρὰ τείχη τοῖς Ἀθηναίοις [3] καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ [4] εἰδέναι ἔφη ὅτι Λακεδαιμονίοις οὐδὲν ἂν βαρύτερον γένοιτο, καὶ τοῦτο οὖν, ἔφη [5], σὺ τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσει [6], τοὺς δὲ Λακεδαιμονίους τετιμωρημένος· ἐφ' ᾧ [7] γὰρ πλεῖστα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις. Ὁ δὲ Φαρνάβαζος ἀκούσας ταῦτα ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας, καὶ χρήματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. Ὁ δὲ ἀφικόμενος πολὺ τοῦ τείχους [8] ὤρθωσε, τά τε αὐτοῦ

---

patético. — 4 Acusativo absoluto. — 5 Concesivo. — 6 "(A los cercados)".

157. 1 Sujeto, Farnabazo, sátrapa persa con el que se alía Conón. — 2 Optativo oblicuo, porque el contexto refiere el participio λέγοντος al pasado. — 3 Dativo comitativo dependiente de συναναστήσοι. — 4 Genitivo comparativo, dependiente de βαρύτερον. — 5 Verbo principal de la oración, que hemos visto precedido de un genitivo absoluto seguido de un período condicional y una relativa; a continuación se pasa al estilo directo. — 6 Forma perifrástica: "habrás hecho un favor a...". — 7 Falta el antecedente: "(aquello) en lo que...". — 8 Genitivo partitivo.

πληρώματα παρέχων καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδούς, καὶ ἄλλο εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. Ἦν μέντοι τοῦ τείχους[8] ἃ καὶ αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελούσιαι συνετείχισαν.

158.

Táctica para vencer a Esparta (394 a. J. C.)

(JENOFONTE, *Helénicas* IV 2, 11-12)

Τιμόλαος μὲν δὴ Κορίνθιος ἔλεξεν· «Ἀλλ' ἐμοὶ δοκεῖ» ἔφη «ὦ ἄνδρες σύμμαχοι, ὅμοιον εἶναι τὸ τῶν Λακεδαιμονίων πρᾶγμα[1] οἷόνπερ τὸ τῶν ποταμῶν. Οἵ τε γὰρ ποταμοὶ πρὸς μὲν ταῖς πηγαῖς οὐ μεγάλοι εἰσὶν ἀλλ' εὐδιάβατοι, ὅσῳ δ' ἂν πορρωτέρω[2] γίγνωνται, ἐπεμβάλλοντες ἕτεροι ποταμοὶ ἰσχυρότερον αὐτῶν τὸ ῥεῦμα ποιοῦσι, καὶ οἱ Λακεδαιμόνιοι ὡσαύτως, ἔνθεν μὲν ἐξέρχονται, αὐτοὶ μόνοι εἰσί, προϊόντες δὲ καὶ παραλαμβάνοντες τὰς πόλεις πλείους τε καὶ δυσμαχώτεροι γίγνονται. Ὁρῶ δ' ἔγωγε» ἔφη «καὶ ὁπόσοι σφῆκας ἐξαιρεῖν βούλονται, ἐὰν μὲν ἐκθέοντας τοὺς σφῆκας πειρῶνται θηρᾶν, ὑπὸ πολλῶν τυπτομένους· ἐὰν δ' ἔτι ἔνδον[3] ὄντων τὸ πῦρ προσφέρωσι, πάσχοντας μὲν οὐδέν, χειρουμένους[4] δὲ τοὺς σφῆκας. Ταῦτ' οὖν ἐνθυμούμενος ἡγοῦμαι κράτιστον εἶναι μάλιστα μὲν ἐν αὐτῇ, εἰ δὲ μή, ὅτι ἐγγύτατα τῆς Λακεδαίμονος τὴν μάχην ποιεῖσθαι[5]».

---

158. [1] "Cosa", "comportamiento". — [2] Comparativo del adverbio πόρρω. — [3] En el avispero. — [4] Media. — [5] Siguen los preparativos de guerra y la descripción de la batalla de Coronea, perdida por los atenienses y sus aliados.

159.

Derrota de los lacedemonios en Leuctra (371 a. J. C.)

(JENOFONTE, *Helénicas* VI 4, 14-15)

Ἦσαν μέν τινες τῶν Λακεδαιμονίων οἳ ἀφόρητον τὴν συμφορὰν ἡγούμενοι τό τε τροπαῖον ἔφασαν χρῆναι [1] κωλύειν ἱστάναι τοὺς πολεμίους, τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης πειρᾶσθαι ἀναιρεῖσθαι. Οἱ δὲ πολέμαρχοι, ὁρῶντες μὲν τῶν συμπάντων Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους [2], ὁρῶντες δ' αὐτῶν Σπαρτιατῶν, ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων, τεθνηκότας περὶ τετρακοσίους, αἰσθανόμενοι δὲ τοὺς συμμάχους πάντας μὲν ἀθύμως ἔχοντας πρὸς τὸ μάχεσθαι, ἔστι δὲ οὓς αὐτῶν [3] οὐδὲ ἀχθομένους τῷ γεγενημένῳ, συλλέξαντες τοὺς ἐπικαιρωτάτους ἐβουλεύοντο τί χρὴ ποιεῖν. Ἐπεὶ δὲ πᾶσιν ἐδόκει ὑποσπόνδους τοὺς νεκροὺς ἀναιρεῖσθαι, οὕτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν. Οἱ μέντοι Θηβαῖοι μετὰ ταῦτα καὶ τροπαῖον ἐστήσαντο καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

160.

Táctica equivocada de los atenienses contra Filipo

(DEMÓSTENES, *Primera Filípica* 40-41)

Ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων πρόσο-

---

159. [1] Este infinitivo tiene por sujetos a κωλύειν y πειρᾶσθαι. El dejar que el enemigo levantara un trofeo y pedir permiso para recoger los muertos era un reconocimiento de derrota. — [2] "Cerca de mil". — [3] "Hay a quienes de entre ellos", "a algunos".

δον[1], τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας οὐδενὶ πώποτε εἰς δέον τι κέχρησθε, οὐδὲν δ' ἀπολείπετε[2] ὥσπερ οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖν Φιλίππῳ. Καὶ γὰρ ἐκείνων ὁ πληγεὶς ἀεὶ τῆς πληγῆς ἔχεται, κἂν[3] ἑτέρωσε πατάξῃς[4], ἐκεῖσέ[5] εἰσιν αἱ χεῖρες· προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτ' οἶδεν οὔτ' ἐθέλει. Καὶ ὑμεῖς, ἂν ἐν Χερρονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε, ἐὰν ἐν Πύλαις, ἐκεῖσε, ἐὰν ἄλλοθί που, συμπαραθεῖτε ἄνω κάτω[6], καὶ στρατηγεῖσθε μὲν ὑπ' ἐκείνου, βεβούλευσθε δ' οὐδὲν αὐτοὶ συμφέρον περὶ τοῦ πολέμου, οὐδὲ πρὸ τῶν πραγμάτων προορᾶτε οὐδέν, πρὶν ἂν ἢ γεγενημένον ἢ γιγνόμενόν τι πύθησθε.

161.

Medios de acción de Demóstenes y Filipo

(DEMÓSTENES, *Sobre la Corona* 235-236)

Πρῶτον[1] μὲν ἦρχε[2] τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ, ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάντων· εἶθ'[3] οὗτοι τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων ηὐπόρει καὶ ἔπραττεν ἃ δόξειεν αὐτῷ, οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν, οὐδ' ἐν τῷ φανερῷ βουλευόμενος, οὐδ' ὑπὸ τῶν συκοφαντούντων κρινόμενος, οὐδὲ γραφὰς φεύγων παρανόμων[4], οὐδ' ὑπεύθυνος ὢν οὐδενί, ἀλλ' ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμών, κύριος πάντων. Ἐγὼ δ' ὁ πρὸς τοῦτον ἀντιτεταγμένος (καὶ γὰρ τοῦτ' ἐξετάσαι δίκαιον) τίνος

---

160. [1] Aposiciones a δύναμιν. — [2] Lleva el infinitivo πολεμεῖν. — [3] Crasis por καὶ ἄν. — [4] Impersonal. — [5] ἐκεῖσε, porque a la acción de estar precede un movimiento. — [6] "En todas direcciones".

161. [1] Adverbial. — [2] Demóstenes habla del pasado justificando su actuación. — [3] Por εἶτα. — [4] "Sometido a acusaciones ante los tribu-

κύριος ἦν; Οὐδενός· αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγώ, ἐξ ἴσου [5] προυτίθεθ' [6] ὑμεῖς τοῖς παρ' ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί, καὶ ὅσ' ἂν οὗτοι περιγένοιντ' ἐμοῦ (πολλὰ δ' ἐγίγνετο ταῦτα, δι' ἣν ἕκαστον τύχοι πρόφασιν [7]), ταῦθ' ὑπὲρ [8] τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι.

162.

Toma de Elatea por Filipo (339 a. J. C.)

(DEMÓSTENES, *Sobre la Corona* 169-173)

Ἑσπέρα μὲν γὰρ ἦν, ἧκε δ' ἀγγέλλων τις ὡς [1] τοὺς πρυτάνεις [2] ὡς Ἐλάτεια κατείληπται. Καὶ μετὰ ταῦθ' οἱ μὲν εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες [3] τούς τ' ἐκ τῶν σκηνῶν [4] τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον καὶ τὰ γέρρ' ἐνεπίμπρασαν [5], οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο καὶ τὸν σαλπικτὴν ἐκάλουν· καὶ θορύβου πλήρης ἦν ἡ πόλις. Τῇ δ' ὑστεραίᾳ, ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις τὴν μὲν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς [6] δὲ εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε καὶ πρὶν ἐκείνην [7] χρηματίσαι καὶ προβουλεῦσαι [8] πᾶς ὁ δῆμος ἄνω [9] καθῆτο. Καὶ μετὰ ταῦτα, ὡς ἦλθεν ἡ βουλὴ καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγ-

---

nales por violación de las leyes". — [5] Con valor adverbial: "igualmente". [6] Segunda del plural. — [7] δι' ἥν... πρόφασιν equivale a διὰ τὴν πρόφασιν, ἥν (el relativo se coloca concertando con el antecedente, cuyo artículo se omite). — [8] "En beneficio de".

162. [1] Preposición. — [2] Miembros de la comisión permanente del consejo, que durante el tiempo de su turno vivían en el pritaneo o edificio del gobierno. — [3] μεταξὺ δειπνοῦντες, "en medio de la comida". — [4] Tiendas de los vendedores del ágora. De ellas tomaron los zarzos. Equivale a ἐν ταῖς σκηναῖς (atracción). — [5] Para avisar a los del campo. — [6] El pueblo ateniense. — [7] El consejo (βουλή). — [8] El consejo debía siempre presentar una propuesta a la asamblea. — [9] En la Pnix,

γελμέν' ἑαυτοῖς καὶ τὸν ἥκοντα[10] παρήγαγον κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κῆρυξ «Τίς ἀγορεύειν βούλεται[11];», παρῄει[12] δὲ οὐδείς. Πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος οὐδὲν μᾶλλον[13] ἀνίστατ' οὐδεὶς ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῆς πατρίδος τὸν ἐροῦνθ'[14] ὑπὲρ σωτηρίας... Ἐφάνην τοίνυν οὗτος[15] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγώ.

163.

Entrada de Alejandro en Susa

(Arriano*, *Anábasis* III 16, 6-8)

Αὐτὸς δ' ἐπὶ Σούσων ἐστέλλετο· καὶ ἐντυγχάνει αὐτῷ κατὰ τὴν ὁδὸν ὅ τε παῖς τοῦ Σουσίων σατράπου καὶ παρὰ Φιλοξένου ἐπιστολεύς. Φιλόξενον γάρ εὐθὺς ἐκ τῆς μάχης ἐπὶ Σούσων ἐστάλκει Ἀλέξανδρος. Τῇ δὲ ἐπιστολῇ τῇ παρὰ Φιλοξένου ἐνεγέγραπτο ὅτι τήν τε πόλιν οἱ Σούσιοι παραδεδώκασιν καὶ τὰ χρήματα πάντα σῷά ἐστιν Ἀλεξάνδρῳ. Ἀφίκετο δὲ ἐς Σοῦσα Ἀλέξανδρος ἐκ Βαβυλῶνος ἐν ἡμέραις εἴκοσι· καὶ παρελθὼν ἐς τὴν πόλιν τά τε χρήματα παρέλαβεν, ὄντα ἀργυρίου τάλαντα ἐς[1] πεντακισμύρια, καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν. Πολλά δὲ καὶ ἄλλα κατελήφθη αὐτοῦ[2] ὅσα Ξέρξης ἀπὸ τῆς Ἑλλάδος

---

lugar de la reunión de la asamblea (ἐκκλησία). — 10 Se trata del mensajero. — 11 Fórmula consagrada. — 12 (ἐπὶ τὸ βῆμα). — 13 "No por ello más". — 14 "A uno que hablara...". — 15 "Tal" (o sea, que hablara para buscar la salvación de la patria).

163. * Arriano de Bitinia, alto funcionario imperial de la época de Adriano al que debemos una *Anábasis* (relato de las campañas de Alejandro) y dos obras sobre Epicteto. — 1 "Hasta", "aproximadamente". — 2 Adverbio.

ἄγων ἦλθε, τά τε ἄλλα καὶ Ἁρμοδίου καὶ Ἀριστογείτονος χαλκαῖ εἰκόνες. Καὶ ταύτας Ἀθηναίοις ὀπίσω πέμπει Ἀλέξανδρος, καὶ νῦν κεῖνται Ἀθήνησιν ἐν Κεραμεικῷ αἱ εἰκόνες.

164.

Un adversario leal: Fabricio

(Plutarco, *Vida de Pirro* XXI 1-4)

Μετὰ ταῦτα τοῦ Φαβρικίου τὴν ἀρχὴν παραλαβόντος, ἧκεν ἀνὴρ εἰς τὸ στρατόπεδον πρὸς αὐτόν, ἐπιστολὴν κομίζων ἣν ἔγραψεν ὁ τοῦ βασιλέως [1] ἰατρός, ἐπαγγελλόμενος φαρμάκοις ἀναιρήσειν τὸν Πύρρον, εἰ χάρις αὐτῷ παρ' ἐκείνων ὁμολογηθείη λύσαντι τὸν πόλεμον ἀκινδύνως. Ὁ δὲ Φαβρίκιος δυσχεράνας πρὸς τὴν ἀδικίαν τοῦ ἀνθρώπου, καὶ τὸν συνάρχοντα διαθεὶς ὁμοίως, ἔπεμψε γράμματα πρὸς τὸν Πύρρον, κατὰ τάχος [2] φυλάττεσθαι τὴν ἐπιβουλὴν κελεύων. Εἶχε [3] δ' οὕτως τὰ γεγραμμένα· «Γάιος Φαβρίκιος καὶ Κόιντος Αἰμίλιος ὕπατοι Ῥωμαίων Πύρρῳ βασιλεῖ χαίρειν [4]. Οὔτε φίλων εὐτυχὴς ἔοικας εἶναι κριτὴς οὔτε πολεμίων. Γνώσῃ δὲ τὴν πεμφθεῖσαν ἡμῖν ἐπιστολὴν ἀναγνούς, ὅτι χρηστοῖς καὶ δικαίοις ἀνδράσι πολεμεῖς, ἀδίκοις δὲ καὶ κακοῖς πιστεύεις. Οὐδὲ γὰρ ταῦτα σῇ χάριτι [5] μηνύομεν, ἀλλ' ὅπως μὴ τὸ σὸν πάθος ἡμῖν διαβολὴν ἐνέγκῃ καὶ δόλῳ δόξωμεν, ὡς ἀρετῇ μὴ δυνάμενοι, κατεργάσασθαι τὸν πόλεμον».

---

164. [1] Pirro. — [2] "Rápidamente". — [3] Con un adverbio significa "ser". — [4] Fórmula de saludo. — [5] "Por hacerte un favor" (el adjetivo equivale a un genitivo objetivo).

165.

Escipión* y la cultura

(Diodoro, XXXI 26, 4-5)

Ἄξιος ἐφάνη τῆς τῶν προγόνων δόξης. Ἐκ παίδων[1] γὰρ Ἑλληνικῆς παιδείας ἐπὶ πολὺ[2] μεταλαβών, καὶ γεγονὼς κατὰ τοῦτον τὸν ἐνιαυτὸν ὀκτωκαίδεκα ἐτῶν[3], ἔδωκεν ἑαυτὸν πρὸς τοὺς ἐν φιλοσοφίᾳ λόγους, λαβὼν ἐπιστάτην Πολύβιον τὸν Μεγαλοπολίτην, τὸν τὰς ἱστορίας συντεταγμένον. Τούτῳ δὲ συμβιώσας καὶ πάσης ἀρετῆς ζηλωτὴς γενόμενος, οὐχ οἷον τῶν ἡλικιωτῶν, ἀλλὰ καὶ[4] τῶν πρεσβυτέρων πάντων[5] πολὺ προέσχε σωφροσύνῃ καὶ καλοκαγαθίᾳ καὶ μεγαλοψυχίᾳ καὶ καθόλου πᾶσι τοῖς τῆς ἀρετῆς γένεσι.

166.

Fabio Máximo* tras Cannas (216 a. J. C.)

(Plutarco, *Vida de Fabio Máximo* XVII 7 - XVIII 5)

Τότε πάντων καταβεβληκότων ἑαυτοὺς εἰς ἀπέραντα πένθη καὶ ταραχὰς ἀπράκτους, μόνος ἐφοίτα διὰ τῆς πόλεως πρᾴῳ βαδίσματι καὶ προσώπῳ καθεστῶτι καὶ φιλανθρώπῳ προσαγορεύσει, κοπετούς τε γυναικείους ἀφαιρῶν καὶ συστάσεις εἴργων τῶν εἰς τὸ δημόσιον ἐπὶ[1] κοινοῖς ὀδυρμοῖς προσφερομένων, βουλήν τε συνελθεῖν ἔπεισε καὶ παρεθάρσυνε τὰς ἀρχάς[2], αὐτὸς ὢν καὶ ῥώμη καὶ δύναμις

---

165. * Escipión el Africano, vencedor de Numancia y Cartago (s. II a. J. C.). — [1] *A pueris*, "desde niño". — [2] "En alto grado". — [3] Genitivo temporal. Indica la edad. — [4] οὐχ οἷον... ἀλλὰ καί significa "no sólo..., sino también". — [5] Genitivo con verbos de superioridad.

166. * Dictador romano, el mayor enemigo de Aníbal durante la segunda guerra púnica. — [1] Indica finalidad. — [2] "Las autoridades, los magistrados". — [3] Va con ἀπείρξοντας. — [4] Potencial, no irreal de

ἀρχῆς ἁπάσης πρὸς ἐκεῖνον ἀποβλεπούσης. Ταῖς μὲν οὖν πύλαις ἐπέστησε τοὺς[3] τὸν ἐκπίπτοντα καὶ προλείποντα τὴν πόλιν ὄχλον ἀπείρξοντας, πένθους δὲ καὶ τόπον καὶ χρόνον ὥρισε, κατ' οἰκίαν ἀποθρηνεῖν κελεύσας ἐφ' ἡμέρας τριάκοντα τὸν βουλόμενον· μετὰ δὲ ταύτας ἔδει πᾶν πένθος λύεσθαι καὶ καθαρεύειν τῶν τοιούτων τὴν πόλιν... Μάλιστα δ' ἄν τις ἠγάσατο[4] τὸ φρόνημα καὶ τὴν πρᾳότητα τῆς πόλεως, ὅτε τοῦ ὑπάτου Βάρρωνος ἀπὸ τῆς φυγῆς ἐπανιόντος, ὡς ἄν τις αἴσχιστα καὶ δυσποτμότατα[5] πεπραχὼς ἐπανίοι, ταπεινοῦ καὶ κατηφοῦς[6], ἀπήντησεν αὐτῷ περὶ τὰς πύλας ἥ τε βουλὴ καὶ τὸ πλῆθος ἅπαν ἀσπαζόμενοι[7]. Οἱ δ' ἐν τέλει[2] καὶ πρῶτοι τῆς γερουσίας, ὧν καὶ Φάβιος ἦν, ἡσυχίας γενομένης ἐπῄνεσαν, ὅτι τὴν πόλιν οὐκ ἀπέγνω μετὰ δυστυχίαν τηλικαύτην.

167.

Costumbres de algunos pueblos hispanos

(Estrabón, III 4, 16)

Ἔνιοι δὲ τοὺς Καλλαϊκοὺς ἀθέους φασί, τοὺς δὲ Κελτίβηρας καὶ τοὺς προσβόρρους τῶν ὁμόρων αὐτοῖς ἀνωνύμῳ τινὶ θεῷ[1] ταῖς πανσελήνοις νύκτωρ πρὸ τῶν πυλῶν πανοικίους[2] τε χορεύειν καὶ παννυχίζειν. Τοὺς δὲ Οὐέττωνας[3], ὅτε πρῶτον εἰς τὸ τῶν Ῥωμαίων παρῆλθον στρατόπεδον, ἰδόντας τῶν ταξιάρχων τινὰς ἀνακάμπτοντας ἐν ταῖς ὁδοῖς περιπάτου χάριν[4], μανίαν[5] ὑπολαβόντας ἡγεῖσθαι τὴν ὁδὸν[6]

---

pasado. — [5] Los dos adjetivos van usados adverbialmente, por lo que πράττειν toma el sentido de "tener (buen o mal) éxito". — [6] Referido a τοῦ ὑπάτου Βάρρωνος. — [7] Concordancia *ad sensum*.

167. [1] Dativo de interés: "en honor de un dios...". — [2] "Con toda su familia". — [3] Sujeto de ἡγεῖσθαι, que depende del φασί precedente. — [4] Preposición tras de su régimen. — [5] Acusativo predicativo con

αὐτοῖς ἐπὶ τὰς σκηνάς, ὡς δέον[7] ἢ μένειν καθ' ἡσυχίαν ἱδρυθέντας ἢ μάχεσθαι.

168.

Los turdetanos

(ESTRABÓN, III 1, 6)

Σοφώτατοι δ' ἐξετάζονται τῶν Ἰβήρων οὗτοι καὶ γραμματικῇ χρῶνται καὶ τῆς παλαιᾶς μνήμης ἔχουσι συγγράμματα καὶ ποιήματα καὶ νόμους ἐμμέτρους ἑξακισχιλίων ἐπῶν, ὥς φασι· καὶ οἱ ἄλλοι δ' Ἴβηρες χρῶνται γραμματικῇ, οὐ μιᾷ δ' ἰδέᾳ· οὐδὲ γὰρ γλώττῃ μιᾷ.

169.

Paso del Rubicón (49 a. J. C.)

(APIANO*, *Guerras civiles* II 35)

Δρόμῳ δ' ἐλθὼν ἐπὶ τὸν Ῥουβίκωνα ποταμόν, ὅς ὁρίζει τὴν Ἰταλίαν, ἔστη τοῦ δρόμου[1] καὶ ἐς τὸ ῥεῦμα ἀφορῶν περιεφέρετο τῇ γνώμῃ, λογιζόμενος ἕκαστα τῶν ἐσομένων κακῶν, εἰ τόνδε τὸν ποταμὸν σὺν ὅπλοις περάσειε. Καὶ πρὸς τοὺς παρόντας εἶπεν ἀνενεγκών[2]· «Ἡ μὲν ἐπίσχεσις[3], ὦ φίλοι, τῆσδε τῆς διαβάσεως ἐμοὶ κακῶν ἄρξει, ἡ δὲ διάβασις πᾶσιν ἀνθρώποις». Καὶ εἰπὼν οἷά τις ἔνθους[4] ἐπέρα σὺν ὁρμῇ, τὸ κοινὸν τόδε[5] ἐπειπών· «Ὁ κύβος ἀνερρίφθω».

---

respecto a un τοῦτο suplido. — [6] Acusativo espacial. — [7] Acusativo absoluto con ὡς subjetivo.

169. * Apiano de Alejandría, historiador de la época de Adriano que escribió diversas obras históricas, entre ellas una sobre las guerras civiles de Roma. — [1] Genitivo-ablativo analógico del de los verbos de "cesar". [2] De ἀναφέρω, "cobrar ánimo". — [3] "Renuncia". — [4] Forma contracta de ἔνθεος. — [5] "Esta frase conocida".

170.

Acontecimientos en Roma tras la muerte de César (44 a. J. C.)

(PLUTARCO, *Vida de César* LXVII 1-3)

Κατειργασμένου δὲ τοῦ ἀνδρός, ἡ μὲν γερουσία, καίπερ εἰς μέσον Βρούτου προελθόντος, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀνασχομένη διὰ θυρῶν ἐξέπιπτε, καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε τοὺς μὲν τὰς οἰκίας κλείειν, τοὺς δὲ ἀπολείπειν τραπέζας [1] καὶ χρηματιστήρια, δρόμῳ δὲ χωρεῖν τοὺς μὲν ἐπὶ τὸν τόπον ὀψομένους τὸ πάθος, τοὺς δὲ ἐκεῖθεν ἑωρακότας. Ἀντώνιος δὲ καὶ Λέπιδος, οἱ μάλιστα φίλοι Καίσαρος, ὑπεκδύντες εἰς οἰκίας ἑτέρας [2] κατέφυγον. Οἱ δὲ περὶ Βροῦτον [3], ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες, ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύγουσιν [4] ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαρραλέοι, παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος.

171.

Incendio del templo de Jerusalén (70 d. J. C.)

(FLAVIO JOSEFO*, *La guerra de Judea* VI 252-257)

Ἔνθα [1] δὴ τῶν στρατιωτῶν τις, οὔτε παράγγελμα περιμείνας, οὔτε ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ

---

170. [1] Las mesas de los banqueros, en el Foro. — [2] "Diversas". — [3] "Bruto y los suyos". — [4] Dativo plural.

171. * Autor judío del s. I d. J. C., que historió la guerra de Judea y escribió una obra sobre las *Antigüedades Judaicas*. — [1] "Entonces". —

δ' ὁρμῇ τινι χρώμενος, ἁρπάζει[2] μὲν ἐκ τῆς φλεγομένης ὕλης, ἀνακουφισθεὶς δ' ὑπὸ συστρατιώτου, τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ... Αἰρομένης δὲ τῆς φλογός, 'Ιουδαίων μὲν ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες, οὔτε ταμιευόμενοι τὴν ἰσχύν... 'Ο μὲν οὖν Καῖσαρ[3] τῇ τε βοῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν· οὔτε[4] δὲ βοῶντος ἤκουον, μείζονι κραυγῇ τὰς ἀκοὰς προκατειλημμένοι, καὶ[4] τῷ νεύματι τῆς χειρὸς οὐ προσεῖχον, οἱ μὲν τῷ πολεμεῖν, οἱ δὲ ὀργῇ περισπώμενοι. Τῶν δὲ ταγμάτων[5] εἰσθεόντων οὔτε παραίνεσις οὔτε ἀπειλὴ κατεῖχε τὰς ὁρμάς, ἀλλ' ὁ θυμὸς ἁπάντων ἐστρατήγει.

PENSAMIENTO GRIEGO

172.

La igualdad de los contrarios

(HERÁCLITO*, frs. 67, 88, 62, 126, 8, 54, 53 Diels)

'Ο θεὸς[1] ἡμέρη εὐφρόνη[2], χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός, ἀλλοιοῦται δέ, ὅκωσπερ πῦρ, ὁκόταν

---

[2] "(Un tizón)". — [3] Tito. — [4] οὔτε y καί van en correlación. — [5] Depende de τὰς ὁρμάς.

172. * Filósofo nacido en Éfeso y que vivió alrededor del año 500 a. J. C. La igualdad de los contrarios en el eterno fluir de las cosas y la racionalidad del acontecer son algunas de sus doctrinas. El dialecto es jónico: cf. ἡμέρη = ἡμέρα, ὅκωσπερ = ὅπωσπερ, ὁκόταν = ὁπόταν, ἁρμονίη = ἁρμονία, φανερῆς = φανερᾶς. — [1] Súplase ἐστίν, como en muchas de las frases que siguen; es característico del estilo sentencioso de Heráclito. — [2] Los diversos pares de conceptos enfrentados van en asíndeton; igualmente falta el καί entre uno y otro de los conceptos de

συμμιγῇ θυώμασιν, ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου[3]. — Ταὐτό[4] τ' ἔνι ζῶν[5] καὶ[6] τεθνηκὸς καὶ ἐγρηγορὸς καὶ καθεῦδον καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα. — Ἀθάνατοι[7] θνητοί, θνητοὶ[8] ἀθάνατοι, ζῶντες[8] τὸν ἐκείνων θάνατον[9], τὸν δὲ ἐκείνων βίον[9] τεθνεῶτες[10]. — Τὰ ψυχρὰ θέρεται, θερμὸν[5] ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον νοτίζεται.— Τὸ ἀντίξουν συμφέρον· ἐκ τῶν διαφερόντων καλλίστη ἁρμονίη. — Ἁρμονίη ἀφανὴς φανερῆς κρείσσων. — Πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεὺς καὶ τοὺς μὲν θεοὺς ἔδειξε[11], τοὺς δὲ ἀνθρώπους, τοὺς μὲν δούλους ἐποίησε, τοὺς δὲ ἐλευθέρους.

173.

La sabiduría y la virtud

(HERÁCLITO, frs. 40, 41, 119, 43, 95, 46, 85, 110 Diels)

Πολυμαθίη νόον ἔχειν οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεά τε καὶ Ἑκα-

---

cada par. — 3 "Según el placer de cada uno", es decir, según el aroma; siendo en todos los casos fuego, es en unos fuego de tomillo, en otros de cantueso, etc. — 4 Crasis por τό αὐτό. — 5 Los adjetivos neutros van sustantivados sin necesidad de artículo. — 6 Hay καί tanto entre los distintos pares de conceptos como en el interior de cada uno; exactamente lo contrario que en la primera frase. — 7 Sujeto de (εἰσί). — 8 Participio causal que va con el primer sujeto. — 9 Funciona como acusativo interno, aunque expresa un concepto antitético al verbo; así se intenta superar la antítesis. — 10 Participio causal con el segundo sujeto de la frase. — 11 Lleva dos pares de dobles acusativos.

173. Son jonismos típicos de este autor (cf. 172): νόον = νοῦν, Πυθαγόρην = Πυθαγόραν, Ξενοφάνεα = Ξενοφάνην, ἀμαθίην = ἀμαθίαν, ἱερή = ἱερά, νοῦσος = νόσος, ὁτέῃ = ἥτις, κρέσσον =

ταῖον. — Ἓν γὰρ τὸ σοφόν, ἐπίστασθαι γνώμην, ὁτέη ἐκυβέρνησε[1] πάντα διὰ πάντων[2]. — Ἦθος ἀνθρώπῳ δαίμων. — Ὕβριν χρὴ σβεννύναι μᾶλλον ἢ πυρκαϊήν. — Κρύπτειν ἀμαθίην κρέσσον. — Οἴησις ἱερὴ νοῦσος[3]. — Θυμῷ μάχεσθαι χαλεπόν· ὃ γὰρ ἂν θέλῃ, ψυχῆς[4] ὠνεῖται. — Ἀνθρώποις γίνεσθαι ὁκόσα θέλουσιν οὐκ ἄμεινον.

174.

Sobre la felicidad

(DEMÓCRITO*, frs. 170, 171, 189, 207, 194 Diels)

Εὐδαιμονίη ψυχῆς[1] καὶ κακοδαιμονίη. — Εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδὲ ἐν χρυσῷ· ψυχὴ οἰκητήριον δαίμονος. — Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα[2] εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. Τοῦτο δ' ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι[3] τὰς ἡδονὰς ποιοῖτο. — Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ[3] αἱρεῖσθαι χρεών. — Αἱ μεγάλαι τέρψιες ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

κρεῖττον. — [1] Aoristo gnómico. — [2] "En todas las circunstancias". — [3] La "enfermedad sagrada" es la epilepsia; aquí más bien "locura". — [4] Genitivo con verbos de "comprar" y "vender": "a cambio de...".

174. * Filósofo de Abdera; vivió en la segunda mitad del s. V y comienzos del IV a. J. C. Es el fundador del atomismo; su filosofía es humanitaria y hedonista. También este autor emplea el dialecto jónico: cf. εὐδαιμονίη = εὐδαιμονία, κακοδαιμονίη = κακοδαιμονία, ἀνιηθέντι = ἀνιαθέντι, θνητοῖσι = θνητοῖς, τέρψιες = τέρψεις. — [1] Genitivo de pertenencia con un ἐστί elíptico. — [2] *Quam maxime.* — [3] Neutro.

175.

Dios y el hombre

(DEMÓCRITO, frs. 217, 175, 119 Diels)

Μοῦνοι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικέειν. — Οἱ δὲ θεοὶ τοῖσι ἀνθρώποισι διδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν. Πλὴν ὁκόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα, τάδε δ' οὔτε πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται, ἀλλ' αὐτοὶ τοῖσδεσιν ἐμπελάζουσι διὰ νοῦ [1] τυφλότητα καὶ ἀγνωμοσύνην. — Ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο πρόφασιν [2] ἰδίης ἀβουλίης. Βαιὰ [3] γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίῳ εὐξύνετος ὀξυδερκείη κατιθύνει.

176.

Sócrates

(PLATÓN, *Banquete* 215 E - 216 A)

Ὅταν γὰρ ἀκούω [1], πολύ μοι μᾶλλον ἢ τῶν κορυβαντιώντων ἥ τε καρδία πηδᾷ καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων τῶν τούτου, ὁρῶ δὲ καὶ ἄλλους παμπόλλους τὰ αὐτὰ πάσχοντας· Περικλέους δὲ ἀκούων καὶ ἄλλων ἀγαθῶν ῥητόρων εὖ μὲν ἡγούμην λέγειν, τοιοῦτον δ' οὐδὲν ἔπασχον, οὐδ' ἐτεθορύβητό μου ἡ ψυχὴ οὐδ' ἠγανάκτει ὡς [2]

---

175. Son jonismos típicos de este autor (cf. 174): θεοφιλέες = θεοφιλεῖς, ἀδικέειν = ἀδικεῖν, τοῖσι = τοῖς, ἀνθρώποισι = ἀνθρώποις, διδοῦσι = διδόασι, ἀνωφελέα = ἀνωφελῆ, τοῖσδεσιν = τοῖσδε, ἰδίης = ἰδίας, ἀβουλίης = ἀβουλίας. — [1] Genitivo subjetivo dependiente de los acusativos siguientes, regidos por διά. — [2] Acusativo predicativo en una construcción con doble acusativo: "como ocultación", "para ocultar". Lleva un genitivo objetivo. — [3] Adverbial.

176. [1] (Σωκράτους). — [2] Súplase τινός. — [3] Alcibíades, que es

ἀνδραποδώδως διακειμένου, ἀλλ' ὑπὸ τουτουὶ τοῦ Μαρσύου [3] πολλάκις δὴ οὕτω διετέθην ὥστε μοι δόξαι μὴ βιωτὸν εἶναι [4] ἔχοντι ὡς ἔχω... Ἀναγκάζει γάρ με ὁμολογεῖν ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτι [5] ἐμαυτοῦ μὲν ἀμελῶ, τὰ δ' Ἀθηναίων πράττω.

177.

Deber de obediencia a la Patria

(Platón, *Critón* 51 A-C)

Ἢ οὕτως εἶ σοφὸς ὥστε λέληθέν σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν [1] ἐστιν πατρὶς καὶ σεμνότερον [1] καὶ ἁγιώτερον [1] καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖν καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν ἐάν τι προστάττῃ παθεῖν ἡσυχίαν ἄγοντα [2], ἐάντε τύπτεσθαι ἐάντε δεῖσθαι, ἐάντε εἰς πόλεμον ἄγῃ [3] τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς, ἢ πείθειν [4] αὐτὴν ᾗ [5] τὸ δίκαιον πέφυκε,

---

quien habla, ha comparado a Sócrates con el sátiro Marsias, feo de aspecto, pero que subyugaba a las gentes con su flauta. — [4] βιωτὸν εἶναι equivale a *uiuendum esse;* el adjetivo va en neutro, porque el sujeto no va explícito. — [5] "Encima".

177. [1] Predicados sustantivados, en neutro, de un sujeto femenino: "una cosa más...". — [2] Esto es, sin replicar. — [3] La condicional ἐάντε... ἀποθανούμενον depende de ποιητέον, que representa un anacoluto. — [4] Rompe la construcción; tradúzcase como si dependiera de un δεῖ. — [5] Adverbio.

βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα;

178.

Los cisnes. Esperanza de Sócrates ante la muerte

(PLATÓN, *Fedón* 84 D - 85 B)

Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερόν τι νῦν διάκειμαι[1] ἢ ἐν τῷ πρόσθεν βίῳ· καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἳ ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες[2] καὶ ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ κάλλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι οὗπέρ[3] εἰσι θεράποντες... Ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι.

179.

La buena conciencia

(PLATÓN, *República* 330 D - 331 A)

«Εὖ γὰρ ἴσθι[1]» ἔφη[2] «ὦ Σώκρατες, ὅτι, ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν ἔμπροσθεν οὐκ εἰσῄει. Οἵ τε γὰρ λεγόμενοι μῦθοι

---

178. [1] Indicativo tras μή (y no subjuntivo), por tener aparentemente mucho fundamento el temor. — [2] "Ellos que cantaban". — [3] Apolo, dios de la mántica.

179. [1] De οἶδα. — [2] El sujeto es Céfalo, padre del orador Lisias. —

περὶ τῶν ἐν[3] Ἅιδου, ὡς[4] τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν μὴ[5] ἀληθεῖς ὦσιν· καὶ αὐτός —ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας ἢ καὶ ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ μᾶλλόν τι καθορᾷ αὐτά— ὑποψίας δ' οὖν καὶ δείματος μεστὸς γίγνεται καὶ ἀναλογίζεται ἤδη καὶ σκοπεῖ εἴ τινά τι ἠδίκησεν. Ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα καὶ[6] ἐκ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος δειμαίνει καὶ[6] ζῇ μετὰ κακῆς ἐλπίδος· τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον συνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος, ὡς καὶ Πίνδαρος λέγει».

180.

Placeres buenos y malos

(Platón, *Gorgias* 499 C-D)

ΣΩΚΡΑΤΗΣ. Ἔστι δὲ δή, ὡς ἔοικεν, ὃ νῦν λέγεις, ὅτι ἡδοναί τινές εἰσιν αἱ μὲν ἀγαθαί, αἱ δὲ κακαί· ἢ γάρ[1];

ΚΑΛΛΙΚΛΗΣ. Ναί.

ΣΩ. Ἆρ' οὖν ἀγαθαὶ μὲν αἱ ὠφέλιμοι, κακαὶ δὲ αἱ βλαβεραί;

ΚΑ. Πάνυ γε.

ΣΩ. Ὠφέλιμοι δέ γε αἱ ἀγαθόν τι ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι;

ΚΑ. Φημί.

ΣΩ. Ἆρ' οὖν τὰς τοιάσδε λέγεις, οἷον κατὰ τό σῶμα ἃς[2] νυνδὴ ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς, ἦ ἄρα

---

[3] Súplase δώματι. — [4] Introduce una explicativa que aclara a μῦθοι. — [5] "No sea que". — [6] Lat. *et... et...*

180. [1] "¿No es así?". — [2] Su antecedente ἡδονάς ha sido atraído a esta oración.

τούτων αἱ μὲν ὑγίειαν ποιοῦσαι ἐν τῷ σώματι, ἢ ἰσχὺν ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τούτων κακαί;

ΚΑ. Πάνυ γε.

181.

Inconvenientes del amarse a sí mismo

(Platón, *Leyes* 731 D - 732 A)

Πάντων δὲ μέγιστον κακῶν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστιν [1], οὗ πᾶς αὑτῷ συγγνώμην ἔχων ἀποφυγὴν οὐδεμίαν μηχανᾶται· τοῦτο δ' ἔστιν ὃ λέγουσιν ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστιν καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον. Τὸ [2] δὲ ἀληθείᾳ [3] γε πάντων ἁμαρτημάτων διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε. Τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν, ὥστε τὰ δίκαια καὶ τὰ ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὑτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος· οὔτε γὰρ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον στέργειν, ἀλλὰ τὰ δίκαια, ἐάντε παρ' αὑτῷ ἐάντε παρ' ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ.

182.

El cuerpo, obstáculo para el conocimiento

(Platón, *Fedón* 66 B-E)

Μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν· ἔτι δέ, ἄν τινες νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν [1]. Ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυα-

---

181. [1] "Hay". — [2] Con valor demostrativo. — [3] "En realidad".

182. [1] Lleva un genitivo subjetivo (ἡμῶν) y uno objetivo (τοῦ

ρίας ἐμπίμπλησιν ἡμᾶς πολλῆς ὥστε, τὸ λεγόμενον [2], ὡς ἀληθῶς τῷ ὄντι [3] ὑπ' αὐτοῦ [4] οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν. Καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι. Διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι γίγνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι [5] διὰ πάντα ταῦτα. Τὸ δ' ἔσχατον πάντων ὅτι, ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσιν αὖ πανταχοῦ παραπῖπτον [4] θόρυβον παρέχει καὶ ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθορᾶν τἀληθές. 'Αλλὰ τῷ ὄντι ἡμῖν δέδεικται ὅτι, εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ [6] τῇ ψυχῇ θεατέον αὐτὰ [6] τὰ πράγματα· καὶ τότε, ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καί φαμεν ἐρασταὶ εἶναι, φρονήσεως [7], ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει, ζῶσιν δὲ οὔ.

183.

Suerte del alma después de la muerte

(Platón, *Fedón* 107 C-D)

«'Αλλὰ τόδε γ'», ἔφη [1], «ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι, εἴπερ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον ἐν ᾧ καλοῦμεν τὸ ζῆν [2], ἀλλ'

ὄντος, "el ser", "la verdad"). — [2] "Lo dicho", "como se dice". — [3] "En realidad". — [4] El cuerpo. — [5] Anástrofe. — [6] Significa "solo", "en sí". [7] Antecedente atraído por el relativo (en vez de φρόνησις).

183. [1] Habla Sócrates. — [2] Contaminación de ὃν καλοῦμεν τὸ ζῆν

ὑπὲρ τοῦ παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. Εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν [3] τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι καὶ τῆς αὑτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δ' ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς [4] βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. Οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου [5] ἡ ψυχὴ ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ μέγιστα λέγεται ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας».

184.

El poeta

(Platón, *Ión* 533 E - 534 B)

Πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ [1] οὐκ ἐκ τέχνης [2] ἀλλ' ἔνθεοι ὄντες καὶ κατεχόμενοι [3] πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα, καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως· ὥσπερ [4] οἱ κορυβαντιῶντες οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται, οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ' ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν, βακχεύουσι καὶ κατεχόμενοι, ὥσπερ αἱ βάκχαι ἀρύονται [5] ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι οὔ, καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται [6], ὅπερ [7] αὐτοὶ λέγουσι. Λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταὶ ὅτι ἀπὸ κρηνῶν μελιρ-

---

y ἐν ᾧ ζῶμεν. — [3] Irreal. — [4] Refuerza el superlativo como el latín *ut*. — [5] Súplase δῶμα.

184. [1] Restrictivo. — [2] "Como resultado de un arte". — [3] "Posesos". — [4] En correlación con οὕτω. — [5] "Creen sacar". — [6] Anacoluto; en vez de "también los poetas líricos hacen eso" leemos "también el

ρύτων ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται, καὶ[8] αὐτοὶ οὕτω πετόμενοι. Καὶ ἀληθῆ λέγουσι. Κοῦφον γὰρ χρῆμα ποιητής ἐστιν καὶ πτηνὸν καὶ ἱερόν, καὶ οὐ πρότερον οἷός τε[9] ποιεῖν[10] πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων καὶ ὁ νοῦς μηκέτι ἐν αὐτῷ ἐνῇ.

185.

La poesía debilita al hombre

(PLATÓN, *República* 605 C-E*)

«Οἱ γάρ που βέλτιστοι ἡμῶν, ἀκροώμενοι Ὁμήρου ἢ ἄλλου τινὸς τῶν τραγῳδοποιῶν μιμουμένου[1] τινὰ τῶν ἡρώων ἐν πένθει ὄντα καὶ μακρὰν ῥῆσιν ἀποτείνοντα ἐν τοῖς ὀδυρμοῖς ἢ καὶ ᾄδοντάς τε καὶ κοπτομένους, οἶσθα ὅτι χαίρομέν τε καὶ ἐνδόντες ἡμᾶς αὐτοὺς ἑπόμεθα συμπάσχοντες καὶ σπουδάζοντες ἐπαινοῦμεν ὡς ἀγαθὸν ποιητήν, ὃς ἂν ἡμᾶς ὅτι μάλιστα οὕτω διαθῇ».

«Οἶδα· πῶς δ' οὔ;»

«Ὅταν δὲ οἰκεῖόν τινι ἡμῶν κῆδος γένηται, ἐννοεῖς αὖ ὅτι ἐπὶ τῷ ἐναντίῳ καλλωπιζόμεθα, ἂν δυνώμεθα ἡσυχίαν ἄγειν καὶ καρτερεῖν, ὡς τοῦτο μὲν ἀνδρὸς ὄν[2], ἐκεῖνο δὲ γυναικός, ὃ τότε ἐπῃνοῦμεν;»

«Ἐννοῶ» ἔφη.

«Ἦ καλῶς οὖν» ἦν δ' ἐγώ «οὗτος ὁ ἔπαινος[3] ἔχει, τὸ ὁρῶντα τοιοῦτον ἄνδρα, οἷον ἑαυτόν τις μὴ ἀξιοῖ εἶναι

---

alma...". — [7] "Como". — [8] "También". — [9] "(Es) capaz"; πρότερον no sirve más que para introducir a πρίν. — [10] "Crear".

185. * Hablan alternativamente Sócrates y Glaucón. — [1] Concierta con Ὁμήρου y ἄλλου τινός y lleva como complementos directos τινά y ᾄδοντάς τε καὶ κοπτομένους. — [2] Acusativo absoluto con ὡς subjetivo. — [3] Explicado por una aposición que es la oración τό...

ἀλλ' αἰσχύνοιτο ἄν, μὴ βδελύττεσθαι ἀλλὰ χαίρειν τε καὶ ἐπαινεῖν;»

«Οὔ, μὰ τὸν Δί'» ἔφη «οὐκ εὐλόγῳ[4] ἔοικεν».

186.

El gobierno de los filósofos

(Platón, *República* 473 C-E)

«Ἐάν μὴ» ἦν δ' ἐγώ[1] «ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν συμπέσῃ[2], δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία[3], τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν[2], οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι, δοκῶ δ'[4] οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη ἡ πολιτεία μή[5] ποτε πρότερον φυῇ τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν».

187.

La justicia

(Aristóteles, *Ética a Nicómaco* 1133 *b* 29 - 1134 *a* 6)

Τί μὲν οὖν τὸ ἄδικον καὶ τί τὸ δίκαιόν ἐστιν, εἴρηται. Διωρισμένων δὲ τούτων δῆλον ὅτι ἡ δικαιοπραγία μέσον

μὴ βδελύττεσθαι ἀλλὰ κτλ. — [4] "No se parece a una cosa razonable", "no parece razonable".

186. [1] Habla Sócrates. — [2] Sigue dependiendo de μή. — [3] Aposición a τοῦτο. — [4] δοκῶ δ' es un inciso. — [5] Οὐδέ... μή equivale a "y no (hay cuidado) de que".

ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι· τὸ μὲν γὰρ πλέον ἔχειν, τὸ δ' ἔλαττόν ἐστιν. Ἡ δὲ δικαιοσύνη μεσότης τίς ἐστιν, οὐ τὸν αὐτὸν δὲ τρόπον [1] ταῖς ἄλλαις ἀρεταῖς [2], ἀλλ' ὅτι [3] μέσου [4] ἐστίν· ἡ δ' ἀδικία τῶν ἄκρων [4]. Καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ [5] καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς [6] κατὰ προαίρεσιν [7] τοῦ δικαίου, καὶ διανεμητικὸς καὶ αὐτῷ πρὸς ἄλλον καὶ ἑτέρῳ πρὸς ἕτερον οὐχ οὕτως ὥστε [8] τοῦ μὲν αἱρετοῦ [9] πλέον αὐτῷ, ἔλαττον δὲ τῷ πλησίον, τοῦ βλαβεροῦ δ' ἀνάπαλιν, ἀλλὰ τοῦ ἴσου [10] τοῦ κατ' ἀναλογίαν [11], ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον [12].

188.

La educación es la verdadera felicidad

(Aristóteles, *Protréptico* fr. 3 Ross)

Δεῖ... νομίζειν τὴν εὐδαιμονίαν [1] οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίνεσθαι μᾶλλον ἢ ἐν τῷ πως τὴν ψυχὴν διακεῖσθαι. Καὶ γὰρ σῶμα οὐ τὸ λαμπρᾷ κεκοσμημένον ἐσθῆτι

---

187. [1] Acusativo adverbial. — [2] Depende de αὐτόν. — [3] "Porque". [4] Genitivo de cualidad: "propio de...". — [5] "Es (una virtud)". — [6] Lleva el genitivo objetivo τοῦ δικαίου. — [7] "Por elección", "espontáneamente". [8] Introduce una consecutiva cuyo infinitivo διδόναι ha de ser suplido. — [9] "Lo elegible" o "preferible"; es un genitivo partitivo. — [10] ἀλλά se opone a οὐχ y τοῦ ἴσου es genitivo objetivo dependiente de διανεμητικός. — [11] Se trata de la igualdad proporcional, característica de la justicia distributiva, que consiste en dar a cada uno lo que le corresponde por sus méritos (el *suum cuique*). — [12] Es decir, tanto si se trata de un reparto entre el que lo hace y un segundo como entre un segundo y un tercero.

φαίη τις ἂν εἶναι μακάριον, ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον καὶ σπουδαίως διακείμενον, κἂν[2] μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχήν, ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα προσαγορευτέον[3] ἐστίν, οὐκ ἂν[4] τοῖς ἐκτὸς ᾖ λαμπρῶς κεκοσμημένος, αὐτὸς μηδενὸς ἄξιος ὤν.

189.

Contraposición de poesía e historia

(ARISTÓTELES, *Poética* 1451 *a* 36 - 1451 *b* 7)

Φανερὸν δὲ ἐκ τῶν εἰρημένων καὶ[1] ὅτι οὐ τὸ τὰ γενόμενα λέγειν, τοῦτο[2] ποιητοῦ ἔργον ἐστίν, ἀλλ'[3] οἷα ἂν γένοιτο καὶ τὰ δυνατὰ κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον. Ὁ γὰρ ἱστορικὸς καὶ ὁ ποιητὴς οὐ τῷ ἢ ἔμμετρα λέγειν ἢ ἄμετρα διαφέρουσιν (εἴη γὰρ ἂν τὰ Ἡροδότου εἰς μέτρα τεθῆναι καὶ οὐδὲν ἧττον ἂν εἴη ἱστορία τις μετὰ μέτρου ἢ ἄνευ μέτρων) ἀλλὰ τούτῳ διαφέρει[4], τῷ τὸν μὲν τὰ γενόμενα λέγειν, τὸν δὲ οἷα ἂν γένοιτο. Διὸ καὶ φιλοσοφώτερον καὶ σπουδαιότερον ποίησις ἱστορίας ἐστίν· ἡ μὲν γὰρ ποίησις μᾶλλον τὰ καθόλου[5], ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον[6] λέγει.

---

188. [1] Sujeto de γίνεσθαι. — [2] Crasis. — [3] Lleva dos complementos directos y un predicado concertado con el último, pero que, en realidad, se refiere a ambos. — [4] Conjunción.

189. [1] "También". — [2] Se refiere a τό... λέγειν. — [3] Se entiende τὸ λέγειν. — [4] Concierta sólo con el sujeto más próximo. — [5] Sustantivado por el artículo es "lo general". — [6] τὰ καθ' ἕκαστον, "lo individual".

190.

La virtud habla a Heracles

(JENOFONTE, *Memorables* II 1, 33)

Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν· ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. Καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν· ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. Τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ [1] τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.

191.

Nada se nos da sin trabajo

(JENOFONTE, *Memorables* II 1, 28)

Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως [1] εἶναί σοι βούλει, θεραπευτέον [2] τοὺς θεούς,

---

190. [1] Concierta con σοι y rige a τοιαῦτα.

191. [1] Acusativo de plural (declinación ática). — [2] Adjetivo verbal

εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ὑπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως[3] αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.

192.

Naturaleza del miedo

(JENOFONTE, *Ciropedia* III 1, 24)

Ἐπίστασαι γὰρ ὅτι οἱ μὲν φοβούμενοι μὴ φύγωσι πατρίδα καὶ οἱ μέλλοντες μάχεσθαι δεδιότες μὴ[1] ἡττηθῶσιν ἀθύμως διάγουσι, καὶ οἱ πλέοντες[2] μὴ ναυαγήσωσι, καὶ οἱ δουλείαν καὶ δεσμὸν φοβούμενοι, οὗτοι μὲν οὔτε σίτου[3] οὔθ' ὕπνου[3] δύνανται λαγχάνειν διὰ τὸν φόβον. Οἱ δ' ἤδη μὲν φυγάδες, ἤδη δ' ἡττημένοι, ἤδη δὲ δουλεύοντες, ἔστιν ὅτε δύνανται μᾶλλον τῶν εὐδαιμόνων ἐσθίειν τε καὶ καθεύδειν.

---

usado impersonalmente como los que siguen; súplase siempre ἐστί. — [3] "En la manera en que".

192. [1] "Con temor de". — [2] Súplase δεδιότες. — [3] Genitivo con verbo de "obtener".

193.

Un tirano no tiene amigos

(JENOFONTE, *Hierón* III 8-9)

Εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις[1] τοὺς μὲν ἰδιώτας ὑπὸ τούτων[2] μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας, πολλοὺς δ' ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας, πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γεγενημένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους[3] διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι. Οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖν[4] καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται, πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι;

194.

Ciro el Mayor se despide, al morir, de sus hijos y amigos

(JENOFONTE, *Ciropedia* VIII 7, 19-22)

«Οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ[1] τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχή, ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. Ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα, ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχή, ζῶντα παρέχεται[2]. Οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ

---

193. [1] Construido con complemento directo y participios predicativos. — [2] Los familiares y amigos. — [3] Se repite porque el anterior queda lejos. — [4] Depende de πεφυκότων y de συνηναγκασμένων.

194. [1] "Tampoco". — [2] Sujeto, ἡ ψυχή. — [3] "Por respeto también

ἄφρονος σώματος δίχα γένηται, οὐδὲ[1] τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. Διαλυομένου δὲ ἀνθρώπου δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. 'Εννοήσατε δ'» ἔφη «ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται καὶ τότε τι τῶν μελλόντων προορᾷ· τότε γάρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. Εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα ὥσπερ ἐγὼ οἴομαι καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι[3] ποιεῖτε ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς[4] γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυναμένους, οἵ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν[5] συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀναμάρτητον καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι μήποτε ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε».

195.

Gimnasia y Filosofía, fundamentos de la educación

(ISÓCRATES, *Sobre la antídosis* 180-182)

Βούλομαι δὲ περὶ τῆς τῶν λόγων παιδείας[1] ὥσπερ οἱ γενεαλογοῦντες πρῶτον διελθεῖν πρὸς ὑμᾶς. 'Ομολογεῖται μὲν γὰρ τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ

a". — [4] Recogido por τούτους, depende de φοβούμενοι (línea penúltima). — [5] τὴν τῶν ὅλων τάξιν es "la ordenación de todas las cosas", "el universo".

195. [1] Son la Oratoria y la Filosofía a un tiempo. — [2] Sigue depen-

τῆς ψυχῆς· αὐτοῖν δὲ τούτοιν οὐδεὶς ἔστιν ὅστις οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ πλείονος ἀξίαν· τῆς μὲν γὰρ ἔργον εἶναι[2] βουλεύσασθαι καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν, τοῦ δὲ σώματος ὑπηρετῆσαι τοῖς ὑπὸ τῆς ψυχῆς γνωσθεῖσιν. Οὕτω δὲ τούτων ἐχόντων ὁρῶντές τινες τῶν πολὺ πρό ἡμῶν γεγονότων περὶ μὲν τῶν ἄλλων πολλὰς τέχνας συνεστηκυίας, περὶ δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν οὐδὲν τοιοῦτον συντεταγμένον, εὑρόντες διττὰς ἐπιμελείας[3] κατέλιπον ἡμῖν, περὶ μὲν τά σώματα τὴν παιδοτριβικήν, ἧς ἡ γυμναστικὴ μέρος ἐστί, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν[4], περὶ ἧς ἐγὼ μέλλω ποιεῖσθαι τοὺς λόγους, ἀντιστρόφους καὶ σύζυγας καὶ σφίσιν αὐταῖς ὁμολογουμένας, δι᾽ ὧν οἱ προεστῶτες αὐτῶν τάς τε ψυχὰς φρονιμωτέρας καὶ τά σώματα χρησιμώτερα παρασκευάζουσιν.

196.

El "hombre educado"

(ISÓCRATES, *Panatenaico* 30-33)

Τίνας οὖν καλῶ πεπαιδευμένους, ἐπειδὴ τάς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις[1] ἀποδοκιμάζω; Πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν[2] ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ[3] στοχάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τούς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τάς μὲν τῶν ἄλλων ἀηδίας

---

diendo de φήσειεν. — [3] Lleva dos aposiciones, τὴν παιδοτριβικήν y τὴν φιλοσοφίαν; ambas en conjunto llevan, a su vez, una nueva aposición, ἀντιστρόφους κτλ. — [4] En el sentido de "cultura".

196. [1] Las cualidades intelectuales. — [2] τὴν δόξαν... τῶν καιρῶν

καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας· ἔτι τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως, ἧς μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέγιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν μηδ' ἐξισταμένους αὑτῶν μηδ' ὑπερηφάνους γιγνομένους ἀλλ' ἐμμένοντας τῇ τάξει τῇ τῶν εὖ φρονούντων καὶ μὴ μᾶλλον χαίροντας τοῖς διά τύχην ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὑτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. Τοὺς[4] δὲ μὴ μόνον πρὸς ἓν τούτων, ἀλλὰ καὶ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον ἔχοντας, τούτους φημὶ καὶ φρονίμους εἶναι καὶ τελείους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς. Περὶ μὲν οὖν τῶν πεπαιδευμένων τυγχάνω ταῦτα γιγνώσκων.

197.

Utilidad de la virtud

(Isócrates, *Sobre la paz* 31-32)

Εἰς τοῦτο[1] γάρ τινες ἀνοίας ἐληλύθασιν, ὥσθ' ὑπειλήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην εὐδόκιμον μέν, ἀλυσιτελῆ δὲ καὶ μᾶλλον δυναμένην τοὺς ἄλλους ὠφελεῖν ἢ τοὺς ἔχοντας αὐτήν, κακῶς[2] εἰδότες[3] ὡς οὔτε πρὸς χρηματισμὸν οὔτε πρὸς

es "la estimación de las circunstancias". — [3] ὡς ἐπὶ τὸ πολύ es "las más veces". — [4] Va con ἔχοντας.

197. [1] "Hasta tal punto". — [2] Equivale a οὐκ. — [3] Va con el τινές inicial. — [4] Sujeto, ἡ ἀδικία.

δόξαν οὔτε πρὸς ἃ δεῖ πράττειν οὐθ' ὅλως πρὸς εὐδαιμονίαν οὐδὲν ἂν συμβάλοιτο[4] τηλικαύτην δύναμιν, ὅσηνπερ ἀρετὴ καὶ τὰ μέρη ταύτης.

198.

Consejos a un príncipe: modo de gobernar

(ISÓCRATES, *A Nicocles* 15-17)

Φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων οὔτε κυνῶν οὔτ' ἀνδρῶν οὔτ' ἄλλου πράγματος οὐδενός οἷόν τε καλῶς ἄρχειν, ἂν μή τις χαίρῃ τούτοις, ὧν αὐτόν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. Μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γιγνώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσιν. Καλῶς δὲ δημαγωγήσεις, ἢν μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικήσονται[1]· ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστίν. Τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα, καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις ὀρθῶς ἔχοντα. Ζήτει νόμους τὸ μὲν σύμπαν[2] δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, πρὸς δὲ τούτοις οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις ὡς οἷόν τε ταχίστας τοῖς πολίταις ποιοῦσιν· ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις.

---

198. [1] En función pasiva. — [2] Adverbial.

199.

Consejos a un príncipe: modo de comportarse el gobernante

(ISÓCRATES, *A Nicocles* 29-31)

Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων, καὶ τοῦθ' ἡγοῦ[1] βασιλικώτατον, ἂν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου μηδ' ἀλογίστως, ἀλλ' ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τ' ἐπιδώσεις καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν. Νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας, ἀλλ' ὅταν παρ' αὑτοῖς ὄντες[2] μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσιν. Λάνθανε[3] μέν, ἤν ἐπί τῳ[4] σοι συμβῇ τῶν φαύλων[5] χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως, ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσιν. Σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἂν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν.

---

199. [1] Imperativo medio. — [2] "(Los ciudadanos)". — [3] En el sentido de "pasar inadvertido". — [4] Indefinido. — [5] Partitivo.

200.

Doctrina de Diógenes el cínico sobre la austeridad

(Diógenes Laercio, VI 71)

Οὐδέν γε μὴν ἔλεγε τὸ παράπαν [1] ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην [2] πᾶν ἐκνικῆσαι. Δέον [3] οὖν ἀντὶ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους [4] ζῆν εὐδαιμόνως, παρὰ τὴν ἄνοιαν [5] κακοδαιμονοῦσι. Καὶ γὰρ αὐτὴ τῆς ἡδονῆς ἡ [6] καταφρόνησις ἡδυτάτη προμελετηθεῖσα [7], καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν, ἀηδῶς ἐπὶ τοὐναντίον μετίασιν, οὕτως οἱ τοὐναντίον ἀσκηθέντες [8] ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι. Τοιαῦτα διελέγετο καὶ ποιῶν ἐφαίνετο, ὄντως νόμισμα παραχαράττων [9], μηδὲν οὕτω τοῖς κατὰ νόμον [10] ὡς τοῖς κατὰ φύσιν διδούς [11], τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν ὅνπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων [12].

---

200. [1] "En absoluto". — [2] Es decir, τὴν ἄσκησιν. Hay que suplir un infinitivo εἶναι. — [3] Acusativo absoluto. — [4] Acusativo concertado con el sujeto implícito de ζῆν, como si éste dependiera de un δεῖ. — [5] "Por su locura". — [6] αὐτὴ ἡ καταφρόνησις sería el orden normal: "el mismo desprecio". — [7] Participio con valor condicional: ἡδυτάτη es predicado nominal de un ἐστί que hay que suplir. — [8] Con el mismo valor de la activa. — [9] Alude a una frase atribuida a Diógenes según la cual él "alteraba el cuño de la moneda"; el juego de palabras está en que νόμισμα significa también "costumbre": Diógenes innovaba en cuanto a los usos establecidos. — [10] τὰ κατὰ νόμον equivale a τὰ νόμιμα, lo aceptado generalmente como norma. — [11] Con μηδέν, πλέον, etc., es "atribuir un valor". — [12] Con genitivo comparativo.

201.

Si la felicidad consistiera en el placer, no habría ningún hombre feliz

(TELES* en ESTOBEO, IV 34, 72)

Εἰ δὲ δεῖ τὸν εὐδαίμονα βίον ἐκ τῶν πλεοναζουσῶν ἡδονῶν συγκρῖναι[1], οὐδείς, φησὶν ὁ Κράτης, εὐδαίμων γεγονὼς ἂν εἴη. Ἀλλ' εἰ θέλει τις ἐκλογίσασθαι ἐν ὅλῳ τῷ βίῳ πάσας τὰς ἡλικίας, εὑρήσει πολλῷ πλείους τὰς ἀλγηδόνας. Πρῶτον μὲν γὰρ τοῦ παντὸς χρόνου ὁ ἥμισυς ἀδιάφορος, ἐν ᾧ καθεύδω. Εἶθ' ὁ πρῶτος ὁ κατὰ τὴν παιδοτροφίαν ἐπίπονος. Πεινᾷ τὸ παιδίον, ἡ δὲ τροφὸς κατακοιμίζει· διψᾷ, ἡ δὲ λούει· κοιμηθῆναι θέλει, ἡ δὲ κρόταλον ἔχουσα ψοφεῖ. Εἰ δ' ἐκπέφευγε τὴν τιτθήν, παρέλαβε πάλιν ὁ παιδαγωγός, παιδοτρίβης, γραμματοδιδάσκαλος, ἁρμονικός, ζωγράφος. Προάγει ἡλικία· προσγίνεται ἀριθμητικός, γεωμέτρης, πωλοδάμνης· ὄρθρου ἐγείρεται, σχολάσαι οὐκ ἔστιν. Ἔφηβος γέγονεν· ἔμπαλιν τὸν κοσμητὴν[2] φοβεῖται, τὸν παιδοτρίβην, τὸν ὁπλομάχον, τὸν γυμνασίαρχον· ὑπὸ πάντων τούτων μαστιγοῦται, παρατηρεῖται, τραχηλίζεται. Ἐξ ἐφήβων[3] ἐστὶ καὶ ἤδη εἴκοσι ἐτῶν· ἔτι φοβεῖται καὶ παρατηρεῖ[4] καὶ γυμνασίαρχον καὶ στρατηγόν. Παρακοιτεῖν εἴ που δεῖ, οὗτοι παρακοιτοῦσι· φυλάττειν καὶ ἀγρυπνεῖν, οὗτοι φυλάττουσιν· εἰς τὰ πλοῖα ἐμβαίνειν, οὗτοι ἐμβαίνουσιν. Ἀνὴρ γέγονε καὶ ἀκμάζει· στρατεύεται καὶ πρεσβεύει ὑπὲρ τῆς πόλεως, πολιτεύεται, στρατηγεῖ, χορηγεῖ, ἀγωνοθετεῖ· μακαρίζει ἐκεῖνον τὸν βίον, ὃν παῖς

---

201. * Filósofo cínico del s. III a. J. C. — [1] "Definir". — [2] Magistrado de quien dependían los efebos. — [3] "Salido del grado de efebo". — [4] "Mira

ὢν ἐβίωσε. Παρήκμασε καὶ ἔρχεται εἰς γῆρας· πάλιν παιδοτροφίαν ὑπομένει καὶ ἐπιποθεῖ τὴν νεότητα. Καὶ [5]

«ἡ νεότης μοι φίλον, τὸ δὲ γῆρας
βαρύτερον Αἴτνης».

Οὐχ ὁρῶ οὖν, πῶς εὐδαίμονά τις βίον ἔσται βεβιωκώς, εἴπερ δεῖ τῷ πλεονασμῷ τῶν ἡδονῶν ἐκμετρῆσαι.

202.

El dolor es común a todos los hombres

(Luciano, *Vida de Demonacte* 25)

Ὁ δὲ αὐτὸς [1] υἱὸν πενθοῦντι καὶ ἐν σκότῳ ἑαυτόν καθείρξαντι προσελθὼν ἔλεγε μάγος τε εἶναι καὶ δύνασθαι ἀναγαγεῖν τοῦ παιδὸς τὸ εἴδωλον, εἰ μόνον αὐτῷ τρεῖς τινας ἀνθρώπους ὀνομάσειε μηδένα πώποτε πεπενθηκότας· ἐπὶ πολὺ δὲ ἐκείνου ἐνδοιάσαντος καὶ ἀποροῦντος —οὐ γάρ εἶχέ τινα, οἶμαι, εἰπεῖν [2] τοιοῦτον— «Εἶτ'», ἔφη, «ὦ γελοῖε, μόνος ἀφόρητα πάσχειν νομίζεις μηδένα ὁρῶν πένθους ἄμοιρον;»

203.

La naturaleza, norma de vida

(Marco Aurelio*, *A sí mismo* V 1)

Ὄρθρου [1], ὅταν δυσόκνως ἐξεγείρῃ [2], πρόχειρον ἔστω ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι· τί οὖν δυσκολαίνω, εἰ

---

con temor". — [5] Se entiende "piensa". La cita (incompleta) es de Eurípides, *Hércules loco,* vv. 637-640.

202. [1] Demonacte. — [2] Dependiente de εἶχε.

203. * El emperador filósofo, cuya obra se funda en el pensamiento estoico (121-180 d. J. C., aproximadamente). — [1] Genitivo temporal. —

πορεύομαι ἐπὶ τὸ ποιεῖν ὧν ἕνεκεν γέγονα καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον; Ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος ἐν στρωματίοις ἐμαυτὸν θάλπω; «Ἀλλὰ τοῦτο ἥδιον[3]». Πρὸς τὸ ἥδεσθαι οὖν γέγονας, ὅλως δὲ πρὸς πεῖσιν, οὐ πρὸς ἐνέργειαν; Οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τοὺς μύρμηκας, τοὺς ἀράχνας, τὰς μελίσσας τὸ ἴδιον ποιούσας[4], τὸ καθ' αὑτὰς συγκροτούσας κόσμον; Ἔπειτα σὺ οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν; Οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν;

204.

La imperturbabilidad del sabio

(MARCO AURELIO, *A sí mismo* VIII 5)

Τὸ πρῶτον μὴ ταράσσου· πάντα γὰρ κατὰ τὴν τοῦ ὅλου[1] φύσιν καὶ ὀλίγου χρόνου[2] οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὥσπερ οὐδὲ Ἁδριανὸς οὐδὲ Αὔγουστος. Ἔπειτα ἀτενίσας εἰς τὸ πρᾶγμα ἰδὲ αὐτὸ καὶ συμμνημονεύσας ὅτι ἀγαθόν σε ἄνθρωπον εἶναι δεῖ καὶ τί[3] τοῦ ἀνθρώπου[4] ἡ φύσις ἀπαιτεῖ, πρᾶξον τοῦτο ἀμεταστρεπτὶ καὶ εἰπέ, ὡς δικαιότατον φαίνεταί σοι· μόνον εὐμενῶς καὶ αἰδημόνως καὶ ἀνυποκρίτως.

---

[2] Segunda persona. — [3] Objeción de un supuesto interlocutor. — [4] Concertado con el último de los sustantivos a que se refiere.

204. [1] "El universo". — [2] Genitivo de tiempo. — [3] Abre una interrogativa indirecta dependiente de συμμνημονεύσας (hay *variatio*, pues va paralela a la completiva siguiente). — [4] Genitivo atributivo (el ático diría ἡ τοῦ ἀνθρώπου φύσις).

205.

Epicteto celebra a Dios

(ARRIANO, *Pláticas de Epicteto** I 16, 19-21)

Τί οὖν; Ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι [1] τὸν ταύτην ἐκπληροῦντα τὴν χώραν [2] καὶ ὑπὲρ πάντων ᾄδοντα τὸν ὕμνον τὸν εἰς τὸν θεόν; Τί γὰρ ἄλλο δύναμαι, γέρων χωλός, εἰ μὴ ὑμνεῖν τὸν θεόν; Εἰ γοῦν ἀηδὼν ἤμην [3], ἐποίουν [4] τὰ τῆς ἀηδόνος· εἰ κύκνος, τὰ τοῦ κύκνου. Νῦν δὲ λογικός εἰμι· ὑμνεῖν με δεῖ τὸν θεόν. Τοῦτό μου τὸ ἔργον ἐστίν, ποιῶ αὐτὸ οὐδ' ἐγκαταλείψω τὴν τάξιν ταύτην, ἐφ' ὅσον ἂν διδῶται, καὶ ὑμᾶς ἐπὶ τὴν αὐτὴν ταύτην ᾠδὴν παρακαλῶ.

206.

Epicuro invita al estudio de la filosofía

EPICURO* en DIÓGENES LAERCIO, X 122)

Μήτε νέος τις ὢν [1] μελλέτω φιλοσοφεῖν, μήτε γέρων ὑπάρχων [1] κοπιάτω φιλοσοφῶν [2]· οὔτε γὰρ ἄωρος οὐδείς ἐστιν οὔτε πάρωρος πρὸς τὸ κατὰ ψυχὴν ὑγιαῖνον. Ὁ δὲ

---

205. * Uno de los principales representantes del estoicismo de época romana (s. II d. J. C.). — [1] "Que hubiera". — [2] "Puesto", "cometido". — [3] Igual que ἦν. — [4] En griego clásico llevaría ἄν.

206. * Fundador de la escuela llamada por él epicúrea, nació en Atenas, donde vivió (siglos IV y III a. J. C.). Sigue el atomismo de Demócrito y busca para el hombre la liberación del miedo y la felicidad lejos de la vida pública. — [1] Participio con valor temporal. — [2] Participio pre-

λέγων ἢ μήπω τοῦ φιλοσοφεῖν[3] ὑπάρχειν ἢ παρεληλυθέναι τὴν ὥραν ὅμοιός ἐστι τῷ λέγοντι πρὸς εὐδαιμονίαν[4] ἢ μήπω παρεῖναι τὴν ὥραν ἢ μηκέτι εἶναι τὴν ὥραν. Ὥστε φιλοσοφητέον[5] καὶ νέῳ καὶ γέροντι, τῷ μὲν ὅπως γηράσκων νεάζῃ τοῖς ἀγαθοῖς[6] διὰ τὴν χάριν τῶν γεγονότων[7], τῷ δ' ὅπως νέος ἅμα καὶ παλαιὸς ᾖ διὰ τὴν ἀφοβίαν τῶν μελλόντων[8]. Μελετᾶν οὖν χρὴ τὰ ποιοῦντα τὴν εὐδαιμονίαν, εἴπερ[9] παρούσης μὲν αὐτῆς, πάντα ἔχομεν, ἀπούσης δέ, πάντα πράττομεν εἰς τὸ ταύτην ἔχειν[10].

207.

Fines de la Historia

(Polibio*, XII 25 *b*)

Τῆς ἱστορίας ἰδίωμα τοῦτ' ἐστί, τὸ πρῶτον μὲν αὐτοὺς[1] τοὺς κατ' ἀλήθειαν εἰρημένους, οἷοί ποτ' ἂν ὦσι, γνῶναι λόγους[1], δεύτερον τὴν αἰτίαν πυνθάνεσθαι, παρ' ἣν ἢ διέπεσεν ἢ κατωρθώθη τὸ πραχθὲν ἢ ῥηθέν· ἐπεὶ ψιλῶς λεγόμενον αὐτὸ τὸ γεγονὸς ψυχαγωγεῖ μέν, ὠφελεῖ δ' οὐδέν· προστεθείσης δὲ τῆς αἰτίας ἔγκαρπος ἡ τῆς ἱστορίας γίνεται χρῆσις.

---

dicativo concertado con el sujeto de κοπιάτω. — [3] El infinitivo sustantivado en genitivo depende de τὴν ὥραν. — [4] "En relación con la felicidad". — [5] Acusativo absoluto con dativo agente. — [6] Instrumental de relación: "sea joven en bienes", los tenga intactos, florecientes. — [7] "Por gracia de lo pasado", es decir, que los ha recibido como si fuera un viejo. [8] Propia del joven. — [9] "Si es verdad que". — [10] "Para tenerla".

207. * Polibio de Megalópolis, historiador griego del s. II a. J. C. — [1] Prolepsis.

208.

La verdad, deber del historiador

(Polibio, I 14, 3-4)

Καὶ γὰρ φιλόφιλον εἶναι δεῖ τὸν ἀγαθὸν ἄνδρα καὶ φιλόπατριν καὶ συμμισεῖν τοῖς φίλοις [1] τοὺς ἐχθροὺς καὶ συναγαπᾶν τοὺς φίλους· ὅταν δὲ τὸ τῆς ἱστορίας ἦθος ἀναλαμβάνῃ τις, ἐπιλαθέσθαι χρὴ πάντων τῶν τοιούτων καὶ πολλάκις μὲν εὐλογεῖν καὶ κοσμεῖν τοῖς μεγίστοις ἐπαίνοις τοὺς ἐχθρούς, ὅταν αἱ πράξεις ἀπαιτῶσι τοῦτο, πολλάκις δ' ἐλέγχειν καὶ ψέγειν ἐπονειδίστως τοὺς ἀναγκαιοτάτους, ὅταν αἱ τῶν ἐπιτηδευμάτων ἁμαρτίαι τοῦθ' ὑποδεικνύωσιν. Ὥσπερ γὰρ ζῴου τῶν ὄψεων ἀφαιρεθεισῶν ἀχρειοῦται τὸ ὅλον, οὕτως ἐξ ἱστορίας ἀφαιρεθείσης τῆς ἀληθείας τὸ καταλειπόμενον αὐτῆς ἀνωφελὲς γίνεται διήγημα.

209.

El Dios desconocido

(San Lucas*, *Hechos de los Apóstoles* XVII 19-23)

Ἐπιλαβόμενοι δὲ αὐτοῦ [1] ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες· «Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ

---

208. [1] Depende del primer término de συμμισεῖν.

209. * El evangelista, autor también de los *Hechos de los apóstoles*, donde explica los comienzos de la difusión de la doctrina cristiana. Es hombre culto y helenizado. — [1] Genitivo con verbos de "coger", "tocar",

σοῦ λαλουμένη διδαχή; Ξενίζοντα γάρ τινα[2] εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τίνα θέλει ταῦτα εἶναι[3]». Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον ηὐκαίρουν ἢ λέγειν τι ἢ ἀκούειν τι καινότερον. Σταθεὶς δὲ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· «Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο· ' Ἀγνώστῳ Θεῷ'. Ὃ οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτο ἐγὼ καταγγέλλω ὑμῖν».

210.

Redención del hombre por Cristo

(San Pablo*, *A Tito* III 3-7)

Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ[1] ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ[1] τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας[2] καὶ ἀνακαινώσεως[2] Πνεύματος Ἁγίου, οὗ[3] ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι[4] κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου.

---

etcétera (antiguo partitivo). — [2] Neutro plural. — [3] θέλει εἶναι es perífrasis por ἐστίν; algo así como "qué viene a ser".

210. * El apóstol. — [1] "Por causa de". — [2] Genitivo de cualidad. — [3] Atracción (por ὅ). — [4] "Gracia".

211.

La fe

(TEÓFILO DE ANTIOQUÍA*, *Los tres libros a Autólico* I 8)

'Αλλά ἀπιστεῖς νεκροὺς ἐγείρεσθαι. Ὅτε ἔσται, τότε πιστεύσεις θέλων καὶ μὴ θέλων· καὶ ἡ πίστις σου εἰς ἀπιστίαν λογισθήσεται, ἐὰν μὴ νῦν πιστεύσῃς. Πρὸς τί [1] δὲ καὶ ἀπιστεῖς; Ἢ οὐκ οἶδας ὅτι ἁπάντων πραγμάτων ἡ πίστις προηγεῖται; Τίς γὰρ δύναται θερίσαι γεωργός, ἐὰν μὴ πρῶτον πιστεύσῃ [2] τὸ σπέρμα τῇ γῇ; Ἢ τίς δύναται διαπερᾶσαι τὴν θάλατταν, ἐὰν μὴ πρῶτον ἑαυτὸν πιστεύσῃ τῷ πλοίῳ καὶ τῷ κυβερνήτῃ; Τίς δὲ κάμνων δύναται θεραπευθῆναι, ἐάν μὴ πρῶτον ἑαυτὸν πιστεύσῃ τῷ ἰατρῷ; Ποίαν δὲ τέχνην ἢ ἐπιστήμην δύναταί τις μαθεῖν, ἐὰν μὴ πρῶτον ἐπιδῷ ἑαυτὸν καὶ πιστεύσῃ τῷ διδασκάλῳ; Εἰ οὖν γεωργὸς πιστεύει τῇ γῇ καὶ ὁ πλέων τῷ πλοίῳ καὶ ὁ κάμνων τῷ ἰατρῷ, σὺ οὐ βούλει σεαυτὸν πιστεῦσαι τῷ Θεῷ;

212.

El poder del rey y el poder del monje

(S. JUAN CRISÓSTOMO*, *Comparación del rey y el monje* 1)

Οὐκοῦν ὁ μὲν βασιλεὺς πόλεσι καὶ χώραις καὶ πολλοῖς ἐφέστηκεν ἔθνεσι, καὶ στρατηγοὺς καὶ ὑπάρχους καὶ στρατόπεδα καὶ δήμους καὶ βουλὰς τοῖς ἑαυτοῦ νεύμασιν ἄγων·

---

211. * Apologista del s. II d. J. C. — [1] "¿Por qué?". — [2] Téngase en cuenta que este verbo, además de "creer", significa "confiar".

212. * El más famoso de los oradores griegos cristianos (siglo IV d. J. C.).

ὁ δὲ Θεῷ δεδωκὼς ἑαυτὸν καὶ τὸν μονήρη βίον ᾑρημένος θυμοῦ καὶ φθόνου καὶ φιλαργυρίας καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἄρχει κακῶν, σκοπῶν ἀεὶ καὶ φροντίζων ὅπως ἂν μὴ συγχωρήσειε τῇ ψυχῇ ὑπὸ τοῖς αἰσχροῖς γενέσθαι πάθεσι μηδὲ δουλωθῆναι τὸν λογισμὸν τυραννίδι πικρᾷ, ἀλλ' ἀνωτέρω πάντων ἀεὶ τὴν διάνοιαν ἔχοι, τὸν τοῦ Θεοῦ φόβον ἐπιστήσας τοῖς πάθεσι. Τοιαύτην μὲν οὖν ὁ βασιλεύς, τοιαύτην δὲ ὁ μοναχὸς ἀρχὴν καὶ δυναστείαν κέκτηται, ὥστε δικαιότερον ἄν τις τοῦτον βασιλέα καλέσειεν ἢ τὸν ἁλουργίδι καὶ στεφάνῳ λαμπόμενον καὶ καθήμενον ἐπὶ θρόνου χρυσοῦ.

213.

Sobre la justicia y la limosna

(S. BASILIO*, *Sobre la misericordia y el buen juicio* 34-36)

Δεῖ τοίνυν ἔλεον καὶ κρίσιν συγκεράσαντας ὑμᾶς κτᾶσθαι μὲν μετὰ κρίσεως, ἀναλίσκειν δὲ εἰς ἔλεον κατά τὸ γεγραμμένον· «Ἔλεον καὶ κρίμα φυλάσσου καὶ ἔγγιζε πρὸς τὸν Θεόν σου διὰ παντὸς[1]». Ἐλεημοσύνην γὰρ καὶ κρίσιν ἀγαπᾷ ὁ Θεός. Διόπερ ἐγγίζει πρὸς Θεὸν ὁ τοῦ ἐλέους καὶ τῆς κρίσεως προνοούμενος. Λοιπὸν[2] ἐνταῦθα ἐξεταζέτω τις ἑαυτὸν καὶ σκοπείτω τοὺς ἰδίους πόρους ὁ πλούσιος, ἐξ ὧν ἀναφέρειν δῶρα μέλλει Θεῷ· μὴ[3] τὸν πένητα κατεδυνάστευσε, μὴ τὸν ἀσθενέστερον ἐβιάσατο, μὴ τὸν ὑποκείμενον ἑαυτῷ πεπλεονέκτηκεν, ἐξουσίᾳ χρώμενος ἀντὶ δικαιοσύνης. Τὸ δίκαιον γὰρ καὶ τὴν ἰσότητα κελευόμεθα φυλάττειν καὶ πρὸς τοὺς δούλους.

---

213. * S. Basilio el Grande, uno de los más importantes Padres de la Iglesia griega (s. IV d. J. C.). — [1] Oseas XII 7. — [2] Adverbial. — [3] Todo el período supone una principal elíptica: "vea si...".

TERCERA PARTE

FRAGMENTOS DE AUTORES VARIOS



SAN LUCAS

El Evangelio de San Lucas fue escrito poco antes del año 62 ó 63 después de Jesucristo. Su autor, médico relativamente ilustrado, fue discípulo, seguidor y amigo íntimo de San Pablo, y murió en Bitinia, a una edad avanzada, dejando, además de la obra que nos ocupa, la narración titulada *Hechos de los apóstoles*.

De los cuatro Evangelios, éste ha sido desde siempre el preferido para la enseñanza, por ser la lengua y estilo de San Lucas más puros y cuidados que los de los otros tres narradores de la vida de Cristo: ya San Jerónimo decía que *inter omnes evangelistas graeci eruditissimus fuit*. La sobriedad y limpidez de su expresión, la probidad científica con que se esfuerza en precisar cronologías, circunstancias concomitantes, motivaciones y efectos y, por otra parte, la amorosa ternura y el sereno desapasionamiento que alternativamente inspiran su pluma, hacen que la lectura de esta obra se convierta en un gozo inolvidable.

214.

La Anunciación

(I 26-38)

Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ[1] ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ἀπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρέθ, πρὸς παρθένον ἐμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαυίδ, καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. Καὶ εἰσελθὼν πρὸς αὐτὴν εἶπεν· «Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ[2]· εὐλογημένη σὺ[3] ἐν γυναιξίν». Ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη, καὶ διελογίζετο ποταπὸς εἴη[4] ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· «Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. Καὶ ἰδοὺ[5] συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας καὶ Υἱὸς Ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· «Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω[6];» Καὶ ἀποκριθεὶς[7] ὁ ἄγγελος εἶπεν αὐτῇ· «Πνεῦμα Ἅγιον

---

214. [1] Del embarazo de Isabel. — [2] Súplase εἴη o ἔστω. — [3] Puede suplirse εἶ o εἴης (doxología). — [4] "Qué significaba"; en ático, el pronombre es ποδαπός. — [5] "Y he aquí que" (semitismo). — [6] Con relación carnal: ático γιγνώσκω. — [7] Forma tardía en vez de ἀποκρινάμενος.

ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον [8] ἅγιον κληθήσεται Υἱὸς Θεοῦ. Καὶ ἰδοὺ [9] Ἐλισάβετ ἡ συγγενίς σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει [10] αὐτῆς, καὶ οὗτος μὴν ἕκτος [11] ἐστὶν αὐτῇ [12] τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀδυνατήσει [13] παρὰ τοῦ Θεοῦ πᾶν ῥῆμα [14]». Εἶπεν δὲ Μαριάμ· «Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου». Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.

215.

La adoración de los pastores

(II 8-20)

Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. Καὶ ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν [1] φόβον μέγαν. Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· «Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστιν Χριστὸς Κύριος, ἐν πόλει [2] Δαυίδ. Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον, εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ κείμενον ἐν φάτνῃ». Καὶ ἐξαίφνης ἐγένετο σὺν [3] τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων [4] τὸν Θεὸν καὶ [5] λεγόντων·

---

[8] Equivale a τὸ τέκνον. — [9] Elipsis de πάρεστι. — [10] Dativo de γῆρας. — [11] Es la manera griega de decir que llevaba cinco meses encinta. — [12] Dativo de relación con noción temporal. — [13] Futuro gnómico. — [14] οὐκ... πᾶν ῥῆμα, "ninguna cosa" (hebraísmo).

215. [1] Con valor medial. — [2] Con ἐτέχθη. — [3] "Se unió a". — [4] Concordancia *ad sensum* (concuerda con στρατιᾶς). — [5] En realidad, la conjunción es superflua, pues λεγόντων debía depender directamente

«Δόξα ἐν ὑψίστοις[6] Θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκίας[7]».

Καὶ ἐγένετο[8] ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, οἱ ποιμένες ἐλάλουν πρὸς ἀλλήλους· «Διέλθωμεν δὴ ἕως[9] Βηθλέεμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν». Καὶ ἦλθον σπεύσαντες[10], καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ· ἰδόντες δὲ ἐγνώρισαν περὶ τοῦ ῥήματος[11] τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς· ἡ δὲ Μαρία[12] πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς.

216.

Jesús entre los doctores

(II 41-52)

Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ'[1] ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβαινόντων αὐτῶν κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειω-

---

de αἰνούντων con función modal. — [6] Neutro. — [7] Es hebraísmo el uso de genitivo en vez de adjetivo. — [8] Verbo superfluo y que resulta de la tendencia a iniciar las frases con forma verbal y el deseo de comenzar el párrafo con una precisión temporal. — [9] Preposición de lugar: uso postclásico. — [10] "A toda prisa"; no marca acción anterior. — [11] "Dieron a conocer la declaración". — [12] Nótese otra forma distinta de Μαριάμ.

216. [1] "Cada". — [2] "Una vez hubieron completado los días", "aca-

σάντων τὰς ἡμέρας[2], ἐν τῷ[3] ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ. Νομίσαντες δὲ αὐτὸν εἶναι ἐν τῇ συνοδίᾳ ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενεῦσιν καὶ τοῖς γνωστοῖς, καὶ μὴ εὑρόντες ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀναζητοῦντες αὐτόν. Καὶ ἐγένετο[4] μετὰ ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς· ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν[5] αὐτοῦ. Καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν[6], καὶ εἶπεν πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ· «Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε». Καὶ εἶπεν πρὸς αὐτούς· «Τί ὅτι[7] ἐζητεῖτέ με; Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου[8] δεῖ εἶναί με;» Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη μετ' αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέθ, καὶ ἦν ὑποτασσόμενος[9] αὐτοῖς. Καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτεν σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

217.

Las tentaciones de Jesús

(IV 1-13)

Ἰησοῦς δὲ πλήρης Πνεύματος Ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν[1] τῷ Πνεύματι ἐν[2] τῇ ἐρήμῳ

---

bados los días (de su estancia)". — [3] "Al". — [4] Cf. nota 8 del pasaje anterior. — [5] "Ἓν διὰ δυοῖν: la inteligencia se manifiesta en las respuestas. — [6] Los padres. — [7] "Por qué": literalmente "qué (sucede) por lo cual". — [8] "En lo de mi Padre". — [9] Forma perifrástica, que ya aparece en griego clásico, en lugar del imperfecto: "vivía sometido".

217. [1] "Por". — [2] Sustitución de εἰς por ἐν típica del N. T. —

ἡμέρας τεσσεράκοντα[3] πειραζόμενος ὑπὸ τοῦ διαβόλου[4]. Καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συντελεσθεισῶν αὐτῶν ἐπείνασεν[5]. Εἶπεν δὲ αὐτῷ ὁ διάβολος· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα[6] γένηται ἄρτος». Καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ Ἰησοῦς· «Γέγραπται[7] ὅτι[8] οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται[9] ὁ ἄνθρωπος». Καὶ ἀναγαγὼν αὐτὸν ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος· «Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν[10], ὅτι ἐμοὶ παραδέδοται καὶ ᾧ ἐὰν[11] θέλω δίδωμι αὐτήν· σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιον ἐμοῦ, ἔσται σοῦ πᾶσα». Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· «Γέγραπται[12]· Προσκυνήσεις Κύριον τὸν Θεόν σου καὶ αὐτῷ μόνῳ λατρεύσεις». Ἤγαγεν δὲ αὐτὸν εἰς Ἱερουσαλὴμ καὶ ἔστησεν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω· γέγραπται[13] γὰρ ὅτι[8] τοῖς ἀγγέλοις αὐτοῦ[14] ἐντελεῖται[15] περὶ σοῦ τοῦ διαφυλάξαι[16] σε, καὶ[17] ὅτι[8] ἐπὶ χειρῶν ἀροῦσίν σε, μή ποτε[18] προσκόψῃς πρὸς λίθον τὸν πόδα σου». Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ

---

[3] Forma helenística en vez de τεσσαράκοντα. — [4] La expresión un poco enrevesada procede de un cruce psicológico entre "fue llevado... para que fuese tentado", tal como aparece en el lugar paralelo de Mt. IV 1, y "pasó cuarenta días siendo tentado". — [5] Forma tardía frente al clásico ἐπείνησεν. — [6] En la κοινή, el subjuntivo con ἵνα suple al infinitivo con acusativo normal con verbos aparentemente *dicendi,* pero en realidad de mandato. — [7] Dt. VIII 3. — [8] ὅτι recitativo que, equivalente a nuestros dos puntos y apertura de comillas, introduce una cita en estilo directo. — [9] Futuro gnómico. — [10] Neutro. — [11] ἐάν en vez de ἄν en oraciones de relativo de tipo iterativo; propio de los LXX, el N. T. y los papiros. — [12] Dt. VI 13. — [13] Ps. XC 11. — [14] De Dios. — [15] "Dará orden (Dios)". — [16] Infinitivo final con artículo. — [17] Ps. XC

'Ιησοῦς ὅτι [8] «Εἴρηται [19]· Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου». Καὶ συντελέσας πάντα [20] πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ [21].

218.

El sermón de la montaña

(VI 17-49)

Καὶ καταβὰς μετ' αὐτῶν [1] ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος πολὺς μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς 'Ιουδαίας καὶ 'Ιερουσαλὴμ καὶ τῆς παραλίου [2] Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι [3] αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν [4], καὶ οἱ ἐνοχλούμενοι ἀπὸ [5] πνευμάτων ἀκαθάρτων ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτουν [6] ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν·

«Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε.

Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε.

Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ

---

12. — [18] "No vaya a ser que". — [19] Dt. VI 16. — [20] "Habiendo agotado todos los medios de". — [21] "En espera de un momento (más oportuno)".

218. [1] Los apóstoles — [2] Sustantivo. — [3] Infinitivo consecutivo. — [4] Masculino. — [5] ἀπό en vez de ὑπό con ablativo agente. — [6] Conc. *ad*

μισθὸς ὑμῶν πολὺς[7] ἐν τῷ οὐρανῷ· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.

Πλὴν[8] οὐαὶ[9] ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν.

Οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι[10] νῦν, ὅτι πεινάσετε.

Οὐαί, οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε.

Οὐαὶ ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. Ἀλλὰ ὑμῖν λέγω τοῖς ἀκούουσιν· ‘ Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν[11] ὑμᾶς, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, προσεύχεσθε περὶ τῶν ἐπηρεαζόντων ὑμᾶς. Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. Παντὶ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει[12]. Καὶ καθὼς[13] θέλετε ἵνα ποιῶσιν[14] ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως’. Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσιν. Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; Καὶ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν. Καὶ ἐὰν δανείσητε παρ’ ὧν[15] ἐλπίζετε λαβεῖν, ποία ὑμῖν χάρις ἐστίν; Καὶ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσιν τὰ ἴσα. Πλὴν[16] ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ Ὑψίστου, ὅτι

---

sensum. — 7 “(Será) abundante”. — 8 Forma popular en vez de ἀλλά. 9 Del hebreo (ya en los LXX) *hōj, 'ōj,* no del lat. *uae,* a pesar del parecido externo y la construcción con dativo. — 10 No hay falta de concordancia: es vocativo. — 11 En griego clásico sería acusativo. — 12 En griego clásico, con dos acusativos. — 13 Va en correlación con ὁμοίως. 14 ἵνα con subjuntivo dependiendo de verbos de voluntad; cf. nota 6 del pasaje anterior. —15 Falta el antecedente. — 16 “(No os limitéis a hacer

αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οἰκτίρμονες, καθὼς ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν. Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ [17] κριθῆτε· καὶ μὴ καταδικάζετε, καὶ οὐ μὴ [17] καταδικασθῆτε. Ἀπολύετε, καὶ ἀπολυθήσεσθε· δίδοτε, καὶ δοθήσεται [18] ὑμῖν· μέτρον καλὸν πεπιεσμένον σεσαλευμένον ὑπερεκχυννόμενον [19] δώσουσιν [20] εἰς τὸν κόλπον ὑμῶν· ᾧ γὰρ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν». Εἶπεν δὲ καὶ παραβολὴν αὐτοῖς· «Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται; Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον· κατηρτισμένος δὲ πᾶς [21] ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ [22] ὀφθαλμῷ οὐ κατανοεῖς; Ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου· 'Ἀδελφέ [23], ἄφες ἐκβάλω [24] τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου' αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου ἐκβαλεῖν [25]. Οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν, οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν. Ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα, οὐδὲ ἐκ βάτου σταφυλὴν τρυγῶσιν. Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ

---

eso), sino". — [17] Forma ya clásica de negación enfática: "no (hay miedo de) que". — [18] Pasiva impersonal empleada para evitar el nombre de Dios. — [19] No sólo se da la medida colmada, sino que antes se ha apretado y zarandeado el grano para aumentar la cabida. — [20] Tercera del plural con valor impersonal: semitismo. — [21] "Una vez formado, cualquiera". — [22] En el N. T. ejerce función de posesivo reflexivo. — [23] Sin la retrotracción clásica del acento. — [24] Sin conjunción, por haber yuxtaposición de un imperativo y un subjuntivo volitivo independiente. — [25] Infinitivo consecutivo. — [26] Nuestra lengua no admite una oración

προφέρει τὸ ἀγαθόν, καὶ ὁ πονηρὸς ἐκ τοῦ πονηροῦ προφέρει τὸ πονηρόν· ἐκ γὰρ περισσεύματος καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ. Τί δέ με καλεῖτε 'Κύριε Κύριε' καὶ οὐ ποιεῖτε ἃ λέγω; Πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος. Ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψεν καὶ ἐβάθυνεν καὶ ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν· πλημμύρας δὲ γενομένης προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσεν σαλεῦσαι αὐτὴν διὰ τὸ καλῶς οἰκοδομῆσθαι αὐτήν. Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου, ᾗ προσέρρηξεν ὁ ποταμός, καὶ[26] εὐθὺς συνέπεσεν, καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα».

Ἐπειδὴ ἐπλήρωσεν πάντα τὰ ῥήματα αὐτοῦ εἰς[27] τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καφαρναούμ.

219.

El siervo del centurión

(VII 1-10)

Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἤμελλεν τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ ἀπέστειλεν πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν[1] αὐτὸν ὅπως[2] ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. Οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες ὅτι ἄξιός ἐστιν ᾧ παρέξῃ[3] τοῦτο· ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν[4] καὶ τὴν συναγωγὴν

---

independiente unida en coordinación a otra de relativo. — [27] "Ante".

219. [1] Presente con valor final, postclásico. — [2] "Pedir que", uso y construcción tardías. — [3] Latinismo sintáctico (*dignus est cui hoc praestes*) explicable por ser un romano aquel de quien se habla. — [4] A los he-

αὐτός[5] ᾠκοδόμησεν ἡμῖν. Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. Ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψεν πρὸς αὐτὸν φίλους ὁ ἑκατόνταρχος λέγων[1] αὐτῷ· «Κύριε, μὴ σκύλλου· οὐ γὰρ ἱκανός εἰμι ἵνα[6] ὑπὸ τὴν στέγην μου εἰσέλθῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρὸς σὲ ἐλθεῖν· ἀλλὰ εἰπὲ λόγῳ, καὶ ἰαθήτω ὁ παῖς μου. Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν[7] τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ ' Πορεύθητι ' καὶ πορεύεται, καὶ ἄλλῳ ' Ἔρχου ' καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου ' Ποίησον τοῦτο ' καὶ ποιεῖ». Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπεν· «Λέγω ὑμῖν, οὐδὲ[8] ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον». Καὶ ὑποστρέψαντες εἰς τὸν οἶκον οἱ πεμφθέντες εὗρον τὸν δοῦλον ὑγιαίνοντα.

220.

El hijo de la viuda de Naín

(VII 11-17)

Καὶ ἐγένετο ἐν τῷ ἑξῆς[1] ἐπορεύθη εἰς πόλιν καλουμένην Ναΐν, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ καὶ ὄχλος πολύς. Ὡς δὲ ἤγγισεν τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς μονογενὴς υἱὸς τῇ μητρὶ[2] αὐτοῦ, καὶ[3] αὐτὴ ἦν χήρα, καὶ ὄχλος τῆς πόλεως ἱκανὸς ἦν σὺν αὐτῇ.

---

breos. — [5] Uso postclásico de αὐτός no enfático como "él". — [6] Nótese ἱκανός equivalente a ἄξιος y construido con ἵνα. — [7] Es tardío el acusativo con ὑπό sin idea de movimiento. — [8] "Ni siquiera" (el centurión es romano).

220. [1] "Al (día) siguiente". — [2] Uso notable del dativo posesivo; equivale a ὃς ἦν τῇ μητρὶ μ. υἱός. — [3] Nótese que aquí sería de esperar el relativo. — [4] Jesús al muchacho. — [5] "Por".

Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος ἐσπλαγχνίσθη ἐπ' αὐτῇ καὶ εἶπεν αὐτῇ· «Μὴ κλαῖε». Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ, οἱ δὲ βαστάζοντες ἔστησαν, καὶ εἶπεν· «Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι». Καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν, καὶ ἔδωκεν αὐτὸν[4] τῇ μητρὶ αὐτοῦ. Ἔλαβεν δὲ φόβος ἅπαντας, καὶ ἐδόξαζον τὸν Θεὸν λέγοντες ὅτι «Προφήτης μέγας ἠγέρθη ἐν ἡμῖν» καὶ ὅτι «Ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ». Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν[5] ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ καὶ πάσῃ τῇ περιχώρῳ.

221.

La pecadora

(VII 36-50)

Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατεκλίθη. Καὶ ἰδοὺ γυνὴ ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι κατάκειται[1] ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, τοῖς δάκρυσιν ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ, καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς ἐξέμασσεν, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν τῷ μύρῳ. Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων[2]· «Οὗτος[3] εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ[4] ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν». Καὶ ἀποκριθεὶς[5] ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν· «Σίμων, ἔχω σοί τι εἰπεῖν». Ὁ δέ «Διδάσκαλε, εἰπέ» φησίν. «Δύο χρεοφειλέται ἦσαν δα-

---

221. [1] Jesús. — [2] Participio superfluo: puede ser semitismo, pero algo parecido se halla ya en Heródoto. — [3] Despectivo. — [4] "De qué índole". — [5] Aunque en realidad la observación no fue formulada en

νειστῇ τινι· ὁ εἷς ὤφειλεν δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. Μὴ ἐχόντων αὐτῶν ἀποδοῦναι ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν πλεῖον ἀγαπήσει αὐτόν;» Ἀποκριθεὶς Σίμων εἶπεν· «Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο». Ὁ δὲ εἶπεν αὐτῷ· «Ὀρθῶς ἔκρινας». Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· «Βλέπεις ταύτην τὴν γυναῖκα; Εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ μοι ἐπὶ τοὺς πόδας οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου τοὺς πόδας καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξεν. Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ' ἧς[6] εἰσῆλθον οὐ διέλειπεν καταφιλοῦσά μου τοὺς πόδας. Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέν μου τοὺς πόδας. Οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν[7] πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται[8], ὀλίγον ἀγαπᾷ». Εἶπεν δὲ αὐτῇ· «Ἀφέωνταί σου αἱ ἁμαρτίαι». Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· «Τίς οὗτός ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν;» Εἶπεν δὲ πρὸς τὴν γυναῖκα· «Ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην».

222.

La multiplicación de los panes

(IX 10-17)

Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν. Καὶ παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ' ἰδίαν[1] εἰς πόλιν καλουμένην Βηθσαϊδά. Οἱ δὲ ὄχλοι γνόντες ἠκολούθησαν αὐτῷ· καὶ ἀποδεξάμενος αὐτοὺς ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο. Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες

---

voz alta. — 6 Elipsis y atracción del relativo, como ἀπὸ τῆς ὥρας ἐν ᾗ. — 7 A Dios. — 8 "(Es porque)".

222. 1 "A solas (con ellos)". — 2 Es ya clásico εἶπα alternando con

δὲ οἱ δώδεκα εἶπαν[2] αὐτῷ· «Ἀπόλυσον τὸν ὄχλον, ἵνα πορευθέντες εἰς τὰς κύκλῳ κώμας καὶ ἀγροὺς καταλύσωσιν καὶ εὕρωσιν ἐπισιτισμόν, ὅτι ὧδε[3] ἐν ἐρήμῳ τόπῳ ἐσμέν». Εἶπεν δὲ πρὸς αὐτούς· «Δότε αὐτοῖς ὑμεῖς φαγεῖν». Οἱ δὲ εἶπαν· «Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ ἰχθύες δύο, εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν[4] εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα». Ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι. Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· «Κατακλίνατε αὐτοὺς κλισίας ὡσεὶ ἀνὰ[5] πεντήκοντα». Καὶ ἐποίησαν οὕτως καὶ κατέκλιναν ἅπαντας. Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν αὐτοὺς καὶ κατέκλασεν, καὶ ἐδίδου τοῖς μαθηταῖς παραθεῖναι τῷ ὄχλῳ. Καὶ ἔφαγον καὶ ἐχορτάσθησαν πάντες, καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς, κλασμάτων κόφινοι δώδεκα.

223.

El buen samaritano

(X 25-37)

Καὶ ἰδοὺ νομικός τις ἀνέστη ἐκπειράζων[1] αὐτὸν[2] λέγων· «Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;» Ὁ δὲ εἶπεν πρὸς αὐτόν· «Ἐν τῷ νόμῳ τί γέγραπται; Πῶς ἀναγινώσκεις;» Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν[3] ὅλῃ τῇ ἰσχύϊ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου, καὶ τὸν πλησίον[4] σου ὡς σεαυτόν[5]». Εἶπεν δὲ αὐτῷ· «Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσῃ[6]». Ὁ δὲ θέλων δικαιῶσαι

εἶπον. — [3] "Aquí". — [4] Nótese la falta de ἄν. — [5] "Hacedles reclinarse (conforme al uso antiguo en las comidas) en grupos de unos..." (κλισίας es acusativo interno etimológico resultativo).

223. [1] Conativo. — [2] A Jesús. — [3] Instrumental. — [4] Adverbio neutro sustantivado. — [5] Dt. VI 5 y Lev. XIX 18. — [6] Lev. XVIII 5. —

ἑαυτὸν εἶπεν πρὸς τὸν Ἰησοῦν· «Καὶ τίς ἐστίν μου πλησίον[4];» Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν· «Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ[7] ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες ἡμιθανῆ. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ Λευίτης κατὰ τὸν τόπον ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθεν. Σαμαρίτης δέ τις ὁδεύων ἦλθεν κατ' αὐτὸν καὶ ἰδὼν ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ ἐπιχέων ἔλαιον καὶ οἶνον, ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ. Καὶ ἐπὶ τὴν αὔριον[8] ἐκβαλὼν δύο δηνάρια ἔδωκεν τῷ πανδοχεῖ καὶ εἶπεν· 'Ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ τι ἂν προσδαπανήσῃς ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι'. Τίς τούτων τῶν τριῶν πλησίον[4] δοκεῖ σοι γεγονέναι[9] τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;» Ὁ δὲ εἶπεν· «Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ[10]». Εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς· «Πορεύου καὶ σὺ ποίει ὁμοίως».

224.

El hijo pródigo
(XV 11-32)

Εἶπεν δέ· «Ἄνθρωπός τις εἶχεν δύο υἱούς. Καὶ εἶπεν ὁ νεώτερος[1] αὐτῶν τῷ πατρί· 'Πάτερ, δός μοι τὸ ἐπιβάλλον

---

[7] καί intraducible frecuente en oraciones de relativo. — [8] "Al día siguiente" (es más usual τῇ ἐπαύριον con la preposición soldada). — [9] Lleva como predicado a πλησίον. — [10] Como ἐλεήσας αὐτόν (μετά es un hebraísmo): el griego clásico preferiría, en todo caso, ποιησάμενος ἔλεος.

224. [1] Comparativo en vez del superlativo, frecuente en todo el

μέρος τῆς οὐσίας '. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον. Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν[2], καὶ ἐκεῖ διεσκόρπισεν τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. Δαπανήσαντος δὲ αὐτοῦ πάντα ἐγένετο λιμὸς ἰσχυρὰ κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς[3] ἤρξατο ὑστερεῖσθαι. Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ[4] τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν[5] αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ[6] τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. Εἰς ἑαυτὸν δὲ ἐλθὼν[7] ἔφη· ' Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ὧδε ἀπόλλυμαι. Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου '. Καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πατέρα αὐτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνίσθη, καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. Εἶπεν δὲ αὐτῷ ὁ υἱός· ' Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου '. Εἶπεν δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· ' Ταχὺ ἐξενέγκατε στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτὸν καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας, καὶ φέρετε τὸν μόσχον τὸν σιτευτόν, θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν, ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν καὶ εὑρέθη '. Καὶ ἤρξαντο εὐφραίνεσθαι. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισεν τῇ οἰκίᾳ,

---

griego. — [2] Adverbio equivalente a un adjetivo. — [3] αὐτός no enfático equivalente a "él". — [4] Usado en vez de τις como artículo indeterminado, según ocurre en las lenguas románicas y germánicas. — [5] Cambio de sujeto. — [6] En griego clásico, genitivo no ablativo sin ἀπό. — [7] "Volviendo a sí mismo", es decir, a su ser anterior. — [8] El ἄν demuestra que

ἤκουσεν συμφωνίας καὶ χορῶν, καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων ἐπυνθάνετο τί ἂν[8] εἴη ταῦτα. Ὁ δὲ εἶπεν αὐτῷ ὅτι· ' Ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τόν μόσχον τόν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν '. Ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν· ὁ δὲ πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ πατρὶ αὐτοῦ· ' Ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα μετά τῶν φίλων μου εὐφρανθῶ· ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν[9] ἦλθεν, ἔθυσας αὐτῷ τὸν σιτευτόν μόσχον '. Ὁ δὲ εἶπεν αὐτῷ· ' Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τά ἐμά σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρός ἦν καὶ ἔζησεν, καὶ ἀπολωλὼς καὶ εὑρέθη '».

225.

El fariseo y el publicano

(XVIII 9-14)

Εἶπεν δὲ καὶ πρός τινας τοὺς[1] πεποιθότας ἐφ' ἑαυτοῖς ὅτι εἰσὶν[2] δίκαιοι καὶ ἐξουθενοῦντας[3] τοὺς λοιποὺς τὴν παραβολὴν ταύτην· «Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερόν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. Ὁ Φαρισαῖος σταθεὶς ταῦτα πρὸς ἑαυτόν προσηύχετο· ' Ὁ Θεός[4], εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν

---

no es enteramente optativo oblicuo, sino que habría potencial incluso en estilo directo: "¿qué podrá ser esto?". — [9] Únase a καταφαγών.

225. [1] El artículo es superfluo. — [2] Cruce de "que tienen confianza en sí mismos" y "que están convencidos de que son". — [3] Es típica de la κοινή la -θ- en οὐθείς y sus compuestos. — [4] Nominativo con

ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ σαββάτου [5], ἀποδεκατῶ πάντα ὅσα κτῶμαι [6] ’. Ὁ δὲ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι εἰς τὸν οὐρανόν, ἀλλ’ ἔτυπτεν τὸ στῆθος αὐτοῦ λέγων· ‘ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ ’. Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ παρ’ [7] ἐκεῖνον· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται».

---

artículo en vez del raro vocativo θεέ. — [5] “Dos veces por semana”. — [6] Presente que sustituye en el N. T. al perfecto κέκτημαι, “tengo”. — [7] Semitismo que suple al comparativo (“más que”).

EX LIBRIS

ARMAUIRUMQUE

LUCIANO

Luciano de Samosata, nacido el 120 y muerto el 180 después de J. C., ocupa un lugar sobresaliente entre los muchos y buenos literatos que utilizaron el griego para sus obras durante la dominación romana en la Hélade y Oriente.

Pero, sobre todo, el aspecto más conocido de este autor polifacético es el genio satírico con que, sin ninguna clase de respetos humanos ni divinos, supo arremeter contra usos, convenciones y creencias de sus contemporáneos en multitud de finos esbozos humorísticos que, con razón, le han consagrado, a partir del renacimiento erasmiano, como uno de los clásicos griegos más leídos e imitados.

Los *Diálogos de los muertos,* escritos hacia el 166 después de J. C., son acabado espécimen de su arte satírico inimitable. En ellos, el escenario fantástico de las oscuras tierras de ultratumba sirve de galería por donde desfilan, con el "personal" del infierno (Plutón, Hermes, Minos, Éaco, Cérbero, Caronte), las pintorescas figuras de los cínicos como Menipo y Diógenes, que, con su desenfado e indiferencia ante la pérdida de los bienes del mundo, constituyen un contraste vivísimo con los monarcas despóticos y opulentos (II, XIII, XX), los supuestos

semidioses (III), los parásitos chasqueados (V), las beldades masculinas o femeninas (XVIII), los briosos o prudentes héroes homéricos (XX) y los sabios filósofos (XX), que, incapaces de resignarse a su hado, gimen y se lamentan por lo que se les quedó en esta vida.

El humor finísimo con que trata Luciano las situaciones, algunas de ellas realmente muy graciosas, ha sido siempre justamente alabado. Pero al tiempo, su radical escepticismo, que hace tabla rasa, a veces con notoria injusticia, de los hombres y los ideales de la Grecia antigua, es el signo de una época infecunda y decadente.

Los *Diálogos marinos*, que tienen por personajes a divinidades o héroes tradicionalmente puestos en relación con el mar, y de los cuales presentamos uno, no son tanto una crítica de la religión pagana dentro de la tendencia general escéptica de Luciano como una jocosa parodia que aprovecha leyendas o escenas bien conocidas para hacer reir al lector a costa de los ridículos y desprestigiados personajes de la fábula.

Recogemos, en fin, un fragmento bastante extenso de la *Historia verdadera*, nombre humorísticamente dado por Luciano a una parodia de las fantásticas narraciones de viajes que, a partir de obras con aspiraciones históricas como las de Heródoto (burlas del cual pueden verse varias citadas en las notas) y Ctesias, habían desembocado, especialmente desde las conquistas macedónicas, en un auténtico género novelesco. Aquí la desbordada imaginación del samosatense, que causa con frecuencia la indignación del bueno del escoliasta Alejandro, nos lleva sucesivamente, en amenos párrafos, a los espacios astrales, adonde le seguirían mucho más tarde Cyrano de Bergerac y los héroes de Julio Verne, y al vientre de una ballena tan inmensa como la que albergó al bíblico Jonás.

226.

Menipo y los tiranos

(*Diál. de los muertos* II)

ΚΡΟΙΣΟΣ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα[1] παροικοῦντα· ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον ἢ ἡμεῖς μετοικήσομεν ἐς ἕτερον τόπον.

ΠΛΟΥΤΩΝ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται, ὁμόνεκρος ὤν;

ΚΡΟΙΣ. Ἐπειδὰν ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ Κροῖσος τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν, ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς, καὶ ὅλως λυπηρός ἐστι.

ΠΛΟΥΤ. Τί ταῦτά[2] φασιν, ὦ Μένιππε;

ΜΕΝΙΠΠΟΣ. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς[3], ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται καὶ περιέχονται τῶν ἄνω· χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς.

---

225. [1] A los cínicos les llamaban "canes" por su modo de vivir independiente y libre de trabas sociales. — [2] "(Es) esto (que)". — [3] En el

ΠΛΟΥΤ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερόμενοι.

ΜΕΝ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς;

ΠΛΟΥΤ. Οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθέλοιμι στασιάζειν ὑμᾶς.

ΜΕΝ. Καὶ μήν, ὦ κάκιστοι Λυδῶν καὶ Φρυγῶν καὶ Ἀσσυρίων, οὕτω[4] γινώσκετε ὡς οὐδὲ[5] παυσομένου μου· ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν καὶ κατᾴδων καὶ καταγελῶν.

ΚΡΟΙΣ. Ταῦτα οὐχ ὕβρις;

ΜΕΝ. Οὔκ, ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώξεσθε, πάντων ἐκείνων ἀφῃρημένοι.

ΚΡΟΙΣ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων[6].

ΜΙΔΑΣ. Ὅσου μὲν ἐγὼ χρυσοῦ[6].

ΣΑΡΔΑΝΑΠΑΛΛΟΣ. Ὅσης δὲ τρυφῆς[6] ἐγώ.

ΜΕΝ. Εὖ γε, οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ τό «γνῶθι σαυτόν[7]» πολλάκις συνείρων ἐπᾴσομαι ὑμῖν. Πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

227.

Menipo y los adivinos

(III)

ΜΕΝΙΠΠΟΣ. Σφῶ μέντοι, ὦ Τροφώνιε καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες, οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε καὶ μάντεις

---

aspecto ético. — 4 En correlación con ὡς. — 5 "Tampoco (porque lo diga Plutón)". — 6 (ἀφῄρημαι). — 7 La famosa máxima grabada en el templo de Delfos.

δοκεῖτε, καὶ οἱ μάταιοι τῶν ἀνθρώπων θεοὺς ὑμᾶς ὑπειλήφασιν[1] εἶναι.

ΑΜΦΙΛΟΧΟΣ. Τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσιν;

ΜΕΝ. 'Αλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε, ὡς τά μέλλοντα προειδότες καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρομένοις.

ΤΡΟΦΩΝΙΟΣ. Ὦ Μένιππε, 'Αμφίλοχος μὲν οὗτος ἂν εἰδείη[2] ὅ τι αὐτῷ[3] ἀποκριτέον ὑπὲρ αὐτοῦ[4], ἐγὼ δὲ ἥρως εἰμὶ καὶ μαντεύομαι, ἥν τις κατέλθῃ παρ' ἐμέ. Σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τὸ παράπαν· οὐ γὰρ ἂν ἠπίστεις[5] σὺ τούτοις.

ΜΕΝ. Τί φής; Εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω[6] καὶ ἐσταλμένος ταῖς ὀθόναις[7] γελοίως, μᾶζαν ἐν ταῖν χεροῖν ἔχων ἐσερπύσω[6] διά τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον[8], οὐκ ἂν ἠδυνάμην εἰδέναι ὅτι νεκρὸς εἶ, ὥσπερ ἡμεῖς, μόνῃ τῇ γοητείᾳ διαφέρων; 'Αλλὰ πρὸς[9] τῆς μαντικῆς, τί δαὶ[10] ὁ ἥρως[11] ἐστίν; 'Αγνοῶ γάρ.

ΤΡΟΦ. 'Εξ ἀνθρώπου τι καὶ θεοῦ σύνθετον.

ΜΕΝ. Ὃ μήτε ἄνθρωπός ἐστιν, ὡς φής, μήτε θεός, καὶ συναμφότερόν ἐστι; Νῦν οὖν ποῖ σου τὸ θεῖον ἐκεῖνο ἡμίτομον ἀπελήλυθε;

ΤΡΟΦ. Χρᾷ, ὦ Μένιππε, ἐν Βοιωτίᾳ.

ΜΕΝ. Οὐκ οἶδα, ὦ Τροφώνιε, ὅ τι καὶ λέγεις· ὅτι μέντοι ὅλος εἶ νεκρὸς ἀκριβῶς ὁρῶ.

---

227. [1] "Vienen creyendo". — [2] El español prefiere futuro. — [3] Dativo agente. — [4] Sustituyendo a un reflexivo. — [5] Con prótasis irreal sobrentendida. — [6] Subjuntivo eventual sin ἄν. — [7] Que se vestían los consultantes del oráculo. — [8] Donde estaba el oráculo. — [9] Conjuro irónico. — [10] Con interrogativos para expresar perplejidad. — [11] Puede traducirse con artículo indeterminado.

228.

Los aduladores de Éucrates
(V)

ΠΛΟΥΤΩΝ. Τὸν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσίν, οἱ [1] τὸν κλῆρον δὲ θηρῶντες πεντακισμύριοι;

ΕΡΜΗΣ. Ναί, τὸν Σικυώνιον φής. Τί οὖν;

ΠΛΟΥΤ. Ἐκεῖνον μέν, ὦ Ἑρμῆ, ζῆν ἔασον ἐπὶ τοῖς ἐνενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἰ δὲ οἷόν τε ἦν, καὶ ἔτι πλείω· τοὺς δὲ κόλακας αὐτοῦ, Χαρῖνον τὸν νέον καὶ Δάμωνα καὶ τοὺς ἄλλους, κατάσπασον ἐφεξῆς ἅπαντας.

ΕΡΜ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον.

ΠΛΟΥΤ. Οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον· τί γὰρ ἐκεῖνοι παθόντες [2] εὔχονται ἀποθανεῖν ἐκεῖνον ἢ τῶν χρημάτων ἀντιποιοῦνται οὐδὲν προσήκοντες; Ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι, καὶ τὰ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ, καί, νοσοῦντος [3], ἃ μὲν βουλεύονται πᾶσι πρόδηλα, θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥαίσῃ· καὶ ὅλως ποικίλη τις [4] ἡ κολακεία τῶν [5] ἀνδρῶν. Διὰ ταῦτα ὁ μὲν ἔστω ἀθάνατος, οἱ δὲ προαπίτωσαν αὐτοῦ [6], μάτην ἐπιχανόντες.

ΕΡΜ. Γελοῖα πείσονται, πανοῦργοι ὄντες· πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐλπίζει [7], καὶ ὅλως, ἀεὶ θανόντι ἐοικώς, ἔρρωται πολὺ μᾶλλον τῶν

---

228. [1] Da al participio valor genérico. — [2] Locución estereotipada: "qué habiendo experimentado", "por qué causa". — [3] Se sobrentiende αὐτοῦ. — [4] Realza el ποικίλη. — [5] "De (esos)". — [6] Genitivo-ablativo con προ-. — [7] "Apacienta con (vanas) esperanzas". — [8] Recíproco. — [9] En los sepelios.

νέων. Οἱ δὲ ἤδη τὸν κλῆρον ἐν σφίσι[8] διῃρημένοι, βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες.

ΠΛΟΥΤ. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας, ὥσπερ Ἰόλεως, ἀνηβησάτω, οἱ δὲ ἀπὸ μέσων τῶν ἐλπίδων, τὸν ὀνειροποληθέντα πλοῦτον ἀπολιπόντες, ἡκέτωσαν ἤδη, κακοὶ κακῶς ἀποθανόντες.

ΕΡΜ. Ἀμέλησον, ὦ Πλούτων· μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς· ἑπτὰ δέ, οἶμαι, εἰσί.

ΠΛΟΥΤ. Κατάσπα, ὁ δὲ παραπέμψει[9] ἕκαστον, ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

229.

Diógenes y Alejandro
(XIII)

ΔΙΟΓΕΝΗΣ. Τί τοῦτο, ὦ Ἀλέξανδρε; Καὶ σὺ τέθνηκας ὥσπερ καὶ ἡμεῖς ἅπαντες;

ΑΛΕΞΑΝΔΡΟΣ. Ὁρᾷς, ὦ Διόγενες· οὐ παράδοξον δέ, εἰ ἄνθρωπος ὢν ἀπέθανον.

ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο λέγων ἑαυτοῦ σε εἶναι, σὺ δὲ Φιλίππου ἄρα ἦσθα;

ΑΛΕΞ. Φιλίππου δηλαδή· οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν.

ΔΙΟΓ. Καὶ μὴν καί ... ἐλέγετο ... τόν ... Φίλιππον ἐξηπατῆσθαι οἰόμενον παρ' ἑαυτοῦ σε εἶναι.

ΑΛΕΞ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ, νῦν δὲ ὁρῶ, ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ[1] οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον.

ΔΙΟΓ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ὑπ-

ἐπτησσον θεὸν εἶναί σε νομίζοντες. Ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας;

ΑΛΕΞ. Οὐκ οἶδα, ὦ Διόγενες· οὐ γὰρ ἔφθασα [2] ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ [3] τοῦτο μόνον, ὅτι ἀποθνήσκων Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. Πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες;

ΔΙΟΓ. Τί γὰρ ἄλλο ἢ [4] ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλάς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες καὶ προστάτην αἱρούμενοι καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους, ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες καὶ οἰκοδομοῦντές σοι νεὼς καὶ θύοντες ὡς δράκοντος υἱῷ. Ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν;

ΑΛΕΞ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι τριακοστὴν ταύτην ἡμέραν [5], ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστής, ἤν ποτε ἀγάγῃ σχολὴν ἀπό τῶν θορύβων τῶν ἐν ποσίν, ἐς Αἴγυπτον ἀπαγαγὼν θάψειν ἐκεῖ, ὡς γενοίμην [6] εἷς τῶν Αἰγυπτίων θεῶν.

ΔΙΟΓ. Μὴ γελάσω [7] οὖν, ὦ Ἀλέξανδρε, ὁρῶν καὶ ἐν Ἅιδου ἔτι σε μωραίνοντα καὶ ἐλπίζοντα Ἄνουβιν ἢ Ὄσιριν γενήσεσθαι; Πλὴν ἀλλὰ ταῦτα μέν, ὦ θειότατε, μὴ ἐλπίσῃς· οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην [8] καὶ ἐς τό εἴσω τοῦ στομίου [9] παρελθόντων· οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς οὐδ' ὁ Κέρβερος εὐκαταφρόνητος. Ἐκεῖνο δέ γε ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις, ὁπόταν ἐννοήσῃς ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς καὶ σατράπας καὶ

---

229. [1] Olimpíade, la madre de Alejandro, había sido la inventora del fraude. — [2] "Tuve tiempo". — [3] "Excepto". — [4] "Pues ¿qué otra cosa (iba a ser), sino que...?". — [5] Modismo típico: "hace ya veintinueve días que". — [6] Empleo abusivo del optativo en lugar del subjuntivo. — [7] El deliberativo depende de un βούλει suplido. — [8] El Aqueronte. —

χρυσὸν τοσοῦτον καὶ ἔθνη προσκυνοῦντα καὶ Βαβυλῶνα καὶ Βάκτρα καὶ τὰ μεγάλα θηρία[10] καὶ τιμὴν καὶ δόξαν καὶ τὸ ἐπίσημον εἶναι[11] ἐξελαύνοντα διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλήν, πορφυρίδα ἐμπεπορπημένον. Οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; Τί δακρύεις, ὦ μάταιε; Οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης;

ΑΛΕΞ. Ὁ σοφός; Ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ἦν. Ἐμὲ μόνον ἔασον[12] τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ᾔτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστελλεν, ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θωπεύων καὶ ἐπαινῶν ἄρτι μὲν πρὸς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν[13] τἀγαθοῦ, ἄρτι δὲ ἐς[14] τὰς πράξεις καὶ τὸν πλοῦτον. Καὶ γὰρ αὖ καὶ[15] τοῦτο[16] ἀγαθὸν ἡγεῖτο εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόγενες, ἅνθρωπος[17] καὶ τεχνίτης. Πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς[18] ἐκείνοις, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν.

ΔΙΟΓ. Ἀλλ' οἶσθα ὃ δράσεις[19]; Ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι. Ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος[20] οὐ φύεται, σὺ δὲ κἂν[21] τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος, πίε καὶ αὖθις πίε καὶ πολλάκις· οὕτως γὰρ παύσῃ ἐπὶ τοῖς

---

9 De acceso al Hades. — 10 Los elefantes de combate. — 11 Unido a τό; el sujeto es Alejandro. — 12 "Deja que yo solo sepa", "no quieras saber". — 13 Acusativo absoluto: el ὡς indica que la relación de causalidad no la establece Alejandro, sino Aristóteles. — 14 *Variatio* con respecto a πρός. — 15 "Porque, encima, incluso" (la abundancia de partículas subraya la enormidad del caso). — 16 El dinero. — 17 Crasis (ὁ ἄνθρωπος). — 18 (ἐπί). — 19 "Qué harás", "qué debes hacer". — 20 Planta medicinal utilizada contra la locura. — 21 Uso tardío de κἄν (crasis) como forma más enfática del καί adverbial: "en último término"

'Αριστοτέλους ἀγαθοῖς[22] ἀνιώμενος. Καὶ γὰρ Κλεῖτον ἐκεῖνον[23] ὁρῶ καὶ Καλλισθένην καὶ ἄλλους πολλοὺς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο[6] καὶ ἀμύναιντό[6] σε ὧν ἔδρασας αὐτούς. Ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε καὶ πῖνε πολλάκις, ὡς ἔφην.

230.
La belleza efímera
(XVIII)

ΜΕΝΙΠΠΟΣ. Ποῦ δὲ οἱ καλοί εἰσιν ἢ αἱ καλαί, ὦ 'Ερμῆ; Ξενάγησόν με νέηλυν ὄντα.

ΕΡΜΗΣ. Οὐ σχολή μοι, ὦ Μένιππε· πλὴν[1] κατ' ἐκεῖνο ἀπόβλεψον, ἐπὶ τὰ δεξιά, ἔνθα ὁ 'Υάκινθός τέ ἐστι καὶ Νάρκισσος καὶ Νιρεὺς καὶ 'Αχιλλεὺς καὶ Τυρὼ καὶ 'Ελένη καὶ Λήδα καὶ ὅλως τὰ ἀρχαῖα κάλλη πάντα.

ΜΕΝ. 'Οστᾶ μόνα ὁρῶ καὶ κρανία τῶν σαρκῶν γυμνά, ὅμοια τὰ πολλά.

ΕΡΜ. Καὶ μὴν ἐκεῖνά ἐστιν ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν.

ΜΕΝ. Ὅμως τὴν 'Ελένην μοι δεῖξον· οὐ γὰρ ἂν διαγνοίην ἔγωγε.

ΕΡΜ. Τουτὶ τὸ κρανίον ἡ 'Ελένη ἐστίν.

ΜΕΝ. Εἶτα[2] διὰ τοῦτο αἱ χίλιαι νῆες ἐπληρώθησαν ἐξ ἁπάσης τῆς 'Ελλάδος καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν;

ΕΡΜ. 'Αλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα· ἔφης γὰρ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι[3]

"a falta de otra cosa". — 22 Los que lo son según él. — 23 "Aquel (famoso)".

230. 1 Forma tardía en vez de ἀλλά. — 2 Indica decepción. — 3 Ho-

«τοιῆδ' [4] ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα [5] πάσχειν»·

ἐπεὶ καὶ τὰ ἄνθη ξηρὰ ὄντα [6] εἴ τις βλέποι ἀποβεβληκότα τὴν βαφήν, ἄμορφα δῆλον ὅτι [7] αὐτῷ δόξει, ὅτε μέντοι ἀνθεῖ καὶ ἔχει τὴν χρόαν, κάλλιστά ἐστιν.

ΜΕΝ. Οὐκοῦν τοῦτο, ὦ Ἑρμῆ, θαυμάζω, εἰ [8] μὴ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος οὕτως ὀλιγοχρονίου καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι, ὥστε σὺ μὲν ἐπιλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτόν, ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.

231.

Paseo por el Hades
(XX)

ΜΕΝΙΠΠΟΣ. Πρὸς τοῦ Πλούτωνος, ὦ Αἰακέ, περιήγησαί μοι τὰ ἐν Ἅιδου πάντα.

ΑΙΑΚΟΣ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα· ὅσα μέντοι κεφαλαιώδη, μάνθανε· οὑτοσὶ μὲν ὅτι Κέρβερός ἐστιν οἶσθα, καὶ τὸν πορθμέα [1] τοῦτον, ὅς σε διεπέρασε, καὶ τὴν λίμνην [2] καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιών.

ΜΕΝ. Οἶδα ταῦτα καὶ σέ, ὅτι πυλωρεῖς, καὶ τὸν βασιλέα [3] εἶδον καὶ τὰς Ἐρινῦς· τοὺς δὲ ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον καὶ μάλιστα τοὺς ἐνδόξους αὐτῶν.

---

mero, *Il.* III 157. — [4] Ático τοιᾷδε. — [5] Forma jónica no contracta. — [6] Con valor causal: "por estar...". — [7] "Evidentemente" (δῆλον ὅτι es una locución estereotipada adverbial en que ya no se nota la falta de verbo cópula). — [8] Con valor condicional débil: "si", "el hecho de que".

231. [1] Caronte. — [2] El Aqueronte. — [3] Plutón. — [4] (ὢν). — [5] Ex-

ΑΙΑΚ. Οὗτος μὲν Ἀγαμέμνων, οὗτος δὲ Ἀχιλλεύς, οὗτος δὲ Ἰδομενεὺς πλησίον[4], οὗτος δὲ Ὀδυσσεύς, εἶτα Αἴας καὶ Διομήδης καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων.

ΜΕΝ. Βαβαί, ὦ Ὅμηρε, οἷά[5] σοι[6] τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται ἄγνωστα καὶ ἄμορφα, κόνις πάντα καὶ λῆρος πολύς, «ἀμενηνὰ» ὡς ἀληθῶς[7] «κάρηνα[8]». Οὗτος δέ, ὦ Αἰακέ, τίς ἐστι;

ΑΙΑΚ. Κῦρός ἐστιν· οὗτος δὲ Κροῖσος, ὁ δ' ὑπὲρ αὐτὸν Σαρδανάπαλλος, ὁ δ' ὑπὲρ τούτους Μίδας, ἐκεῖνος δὲ Ξέρξης.

ΜΕΝ. Εἶτα σέ, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε ζευγνύντα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα[9]; Οἷος[10] δὲ καὶ ὁ Κροῖσός ἐστι. Τὸν Σαρδανάπαλλον δέ, ὦ Αἰακέ, πατάξαι μοι κατὰ κόρρης ἐπίτρεψον.

ΑΙΑΚ. Μηδαμῶς· διαθρύπτεις[11] γὰρ αὐτοῦ τὸ κρανίον γυναικεῖον ὄν.

ΜΕΝ. Οὐκοῦν ἀλλὰ προσπτύσομαί γε πάντως ἀνδρογύνῳ γε ὄντι.

ΑΙΑΚ. Βούλει σοι ἐπιδείξω[12] καὶ τοὺς σοφούς;

ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ. Πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ἐστί.

ΜΕΝ. Χαῖρε, ὦ Εὔφορβε ἢ Ἄπολλον ἢ ὅ τι ἂν ἐθέλῃς.

ΠΥΘΑΓΟΡΑΣ. Νὴ Δία καὶ σύ γε[13], ὦ Μένιππε.

ΜΕΝ. Οὐκέτι χρυσοῦς ὁ μηρός ἐστί σοι;

ΠΥΘ. Οὐ γάρ· ἀλλὰ φέρ' ἴδω[14] εἴ τί σοι ἐδώδιμον ἡ πήρα ἔχει.

---

clamativo; puede traducirse por "cómo". — [6] Ético. — [7] Refuerza a ἀληθῶς. **— [8] Homero, *Od.* X 521. — [9] Cuando abrió con un canal la península del monte Atos. — [10] Exclamativo peyorativo. — [11] Presente de indicativo para poner de relieve la manera tan infalible en que seguiría la apódosis a la prótasis suplida ("si yo te dejara"). — [12] Deliberativo en asíndeton con** βούλει. **— [13]** (χαῖρε). **— [14] Subjuntivo volitivo con el**

MEN. Κυάμους, ὠγαθέ· ὥστε οὐ τοῦτό σοι ἐδώδιμον[15].

ΠΥΘ. Δός μόνον[16]· ἄλλα παρὰ νεκροῖς δόγματα· ἔμαθον γάρ, ὡς οὐδὲν ἴσον κύαμοι καὶ κεφαλαὶ[15] τοκήων[17] ἐνθάδε.

ΑΙΑΚ. Οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδου καὶ Θαλῆς ἐκεῖνος καὶ παρ' αὐτοὺς Πιττακὸς καὶ οἱ ἄλλοι[18]· ἑπτὰ δὲ πάντες εἰσίν, ὡς ὁρᾷς.

MEN. Ἄλυποι, ὦ Αἰακέ, οὗτοι μόνοι καὶ φαιδροὶ τῶν ἄλλων[19]. Ὁ δὲ σποδοῦ πλέως ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ τὰς φλυκταίνας ἐξηνθηκώς, τίς ἐστιν;

ΑΙΑΚ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών.

MEN. Ὦ χαλκόπου βέλτιστε, τί παθὼν[20] σαυτὸν ἐς τοὺς κρατῆρας ἐνέβαλες;

ΕΜΠΕΔΟΚΛΗΣ. Μελαγχολία τις[21], ὦ Μένιππε.

MEN. Οὐ μὰ Δί', ἀλλὰ κενοδοξία καὶ τῦφος καὶ πολλὴ κόρυζα, ταῦτά σε ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν[22] οὐκ ἀνάξιον ὄντα· πλὴν ἀλλ' οὐδέν σε τὸ σόφισμα ὤνησεν· ἐφωράθης γὰρ τεθνεώς. Ὁ Σωκράτης δέ, ὦ Αἰακέ, ποῦ ποτ' ἄρ' ἐστίν;

ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά.

φέρε ("ea") que suele precederle. — [15] Porque éste era manjar impuro para los pitagóricos, que veían en él un recuerdo de las cabezas de los progenitores. — [16] "Sin más"; el laconismo de la expresión y el asíndeton reflejan la avidez del hambriento. — [17] Forma jónica en cita poética; en vez de τοκέων. — [18] Los cuatro restantes sabios de Grecia (Biante, Cleobulo, Bión y Periandro). — [19] Cruce sintáctico entre el genitivo partitivo ("los únicos de ellos") y el comparativo ("más que los otros"). — [20] Locución estereotipada: "qué habiendo experimentado", "por qué causa". — [21] "(Me sobrevino)". — [22] "Con sandalias y todo" (el pronombre de αὐτὸν κρηπῖσιν, "a ti con tus sandalias", se ha visto

ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτόν, εἴ που ἐνθάδε ἐστίν.

ΑΙΑΚ. Ὁρᾷς τὸν φαλακρόν;

ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα.

ΑΙΑΚ. Τὸν σιμὸν λέγω.

ΜΕΝ. Καὶ τοῦτο ὅμοιον· σιμοὶ γὰρ ἅπαντες.

ΣΩΚΡΑΤΗΣ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε;

ΜΕΝ. Καὶ μάλα, ὦ Σώκρατες.

ΣΩΚ. Τί [23] τὰ ἐν Ἀθήναις;

ΜΕΝ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι, καὶ τά γε σχήματα αὐτά [24] καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι [25].

ΣΩΚ. Μάλα πολλοὺς [26] ἑώρακα.

ΜΕΝ. Ἀλλ' ἑώρακας, οἶμαι, οἷος ἧκε παρά σε Ἀρίστιππος καὶ Πλάτων αὐτὸς, ὁ μὲν ἀποπνέων [27] μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους [28] θεραπεύειν ἐκμαθών.

ΣΩΚ. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν;

ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ τά γε τοιαῦτα· πάντες γοῦν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι καὶ πάντα ἐγνωκέναι καὶ ταῦτα [29] —δεῖ γάρ, οἶμαι, τἀληθῆ λέγειν— οὐδέν εἰδότα.

ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς, οἱ δὲ εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι.

ΜΕΝ. Τίνες δέ εἰσιν οὗτοι οἱ περί σε;

ΣΩΚ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαῖδρος καὶ ὁ τοῦ Κλεινίου.

---

atraído en género, número y caso). — [23] (γίνεται). — [24] "Mismas", "en sí", prescindiendo del pobre contenido de las mentes. — [25] "(Parecerían)". [26] "(De ese jaez)". — [27] "Oliendo a" (rige genitivo). — [28] A los dos Dionisios de Siracusa. — [29] καὶ ταῦτα, "y eso", no sirve más que para dar a εἰδότα valor concesivo. — [30] "No, por Zeus".

ΜΕΝ. Εὖ γε, ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτει τὴν σαυτοῦ τέχνην...

ΣΩΚ. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; Ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ.

ΜΕΝ. Μὰ Δί' [30], ἐπεὶ παρὰ τὸν Κροῖσον καὶ τὸν Σαρδανάπαλλον ἄπειμι, πλησίον οἰκήσων αὐτῶν· ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι οἰμωζόντων ἐκείνων.

ΑΙΑΚ. Κἀγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. Τὰ λοιπὰ δ' ἐσαῦθις ὄψει, ὦ Μένιππε.

ΜΕΝ. Ἄπιθι· καὶ ταυτὶ γὰρ ἱκανά, ὦ Αἰακέ.

232.

Ulises y el Ciclope

(*Diál. marinos* II)

ΚΥΚΛΩΨ. Ὦ πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με κοιμωμένῳ[1] ἐπιχειρήσας.

ΠΟΣΕΙΔΩΝ. Τίς δὲ ἦν ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε;

ΚΥΚ. Τὸ μὲν πρῶτον Οὖτιν αὐτὸν ἀπεκάλει, ἐπεὶ δὲ διέφυγε καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη.

ΠΟΣ. Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίου δ' ἀνέπλει. Ἀλλὰ πῶς ταῦτα ἔπραξεν οὐδὲ πάνυ εὐθαρσὴς ὤν;

ΚΥΚ. Κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας πολλούς τινας, ἐπιβουλεύοντας δῆλον ὅτι[2] τοῖς ποιμνίοις· ἐπεὶ γὰρ ἐπέθηκα τῇ θύρᾳ[3] τὸ πῶμα —πέτρα δέ ἐστι παμμεγέθης— καὶ τὸ πῦρ ἀνέκαυσα ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν

---

232. [1] (μοι). — [2] "Evidentemente". — [3] Es decir, a la boca de la

αὐτοὺς πειρώμενοι· ἐγὼ δὲ συλλαβών τινας αὐτῶν, ὥσπερ εἰκός ἦν[4], κατέφαγον, λῃστάς γε ὄντας. Ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε Οὖτις εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ καὶ ταραχωδέστατον· ἅπαντα γάρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο καὶ οὐκέτι ὅλως ἐν ἐμαυτοῦ[5] ἦν, τέλος δὲ ἐς ὕπνον κατεσπάσθην. Ὁ δὲ ἀποξύνας τὸν μοχλὸν καὶ πυρώσας γε προσέτι ἐτύφλωσέ με καθεύδοντα, καὶ ἀπ' ἐκείνου τυφλός εἰμί σοι[6], ὦ Πόσειδον.

ΠΟΣ. Ὡς βαθὺν[7] ἐκοιμήθης, ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος[8]. Ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; Οὐ γὰρ ἂν[9] εὖ οἶδ' ὅτι ἠδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας.

ΚΥΚ. Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα, καὶ καθίσας παρὰ τὴν θύραν, ἐθήρων[10] τὰς χεῖρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομήν, ἐντειλάμενος τῷ κριῷ ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

ΠΟΣ. Μανθάνω· ὑπ' ἐκείνοις ἔλαθον ὑπεξελθόντες· σὲ δὲ τοὺς ἄλλους γε Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν.

ΚΥΚ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἧκον. Ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος τοὔνομα κἀγὼ ἔφην ὅτι[11] «Οὖτίς ἐστι», μελαγχολᾶν οἰηθέντες με, ᾤχοντο ἀπιόντες[12]. Οὕτω κατεσοφίσατό με ὁ κατάρατος τῷ ὀνόματι. Καὶ ὃ μάλιστα ἠνίασέ με, ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφοράν «Οὐδὲ ὁ πατήρ» φησίν «ὁ Ποσειδῶν ἰάσεταί σε».

---

cueva. — [4] El inciso va referido al participio causal que sigue. — [5] "En mí mismo", "en mis cabales" (genitivo por analogía con locuciones como ἐν Ἅιδου). — [6] Ético. — [7] (ὕπνον). — [8] "Mientras eras cegado". — [9] Da a ἠδυνήθη valor de potencial de pasado. — [10] Conativo. — [11] No se traduce. — [12] ᾤχοντο ἀπιόντες, "se fueron". — [13] "Aunque". —

ΠΟΣ. Θάρρει, ὦ τέκνον· ἀμυνοῦμαι γάρ αὐτόν, ὡς μάθῃ ὅτι, καὶ εἰ[13] πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τά[14] γοῦν τῶν πλεόντων ἐπ' ἐμοί[15] ἐστι· ἔτι δὲ πλεῖ[16].

233.

De la tierra a la luna

(*Hist. verd.* I 5-9)

Ὁρμηθείς... ποτε ἀπὸ Ἡρακλείων στηλῶν καὶ ἀφείς[1] ἐς τὸν ἑσπέριον Ὠκεανὸν[2] οὐρίῳ ἀνέμῳ τὸν πλοῦν ἐποιούμην. Αἰτία δέ μοι τῆς ἀποδημίας καὶ ὑπόθεσις ἡ τῆς διανοίας περιεργία καὶ πραγμάτων καινῶν ἐπιθυμία καὶ τό βούλεσθαι μαθεῖν τί τὸ τέλος ἐστὶ τοῦ Ὠκεανοῦ, καὶ τίνες οἱ πέραν κατοικοῦντες ἄνθρωποι. Τούτου γέ τοι ἕνεκα πάμπολλα μὲν σιτία ἐνεβαλόμην[3], ἱκανὸν δὲ καὶ ὕδωρ ἐνεθέμην, πεντήκοντα δὲ τῶν ἡλικιωτῶν προσεποιησάμην τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντας, ἔτι δὲ καὶ ὅπλων πολύ τι πλῆθος παρεσκευασάμην καὶ κυβερνήτην τόν ἄριστον μισθῷ μεγάλῳ πείσας παρέλαβον καὶ τὴν ναῦν —ἄκατος δὲ ἦν— ὡς πρὸς μέγαν καὶ βίαιον πλοῦν ἐκρατυνάμην. Ἡμέραν οὖν καὶ νύκτα[4] οὐρίῳ[5] πλέοντες ἔτι τῆς γῆς ὑποφαινομένης[6] οὐ σφόδρα βιαίως ἀνηγόμεθα, τῆς ἐπιούσης[7] δὲ ἅμα ἡλίῳ ἀνίσχοντι[8] ὅ τε ἄνεμος ἐπεδίδου καὶ τὸ κῦμα ηὐξάνετο καὶ ζόφος ἐπεγίνετο καὶ οὐκέτ' οὐδὲ στεῖλαι τὴν ὀθόνην δυνατὸν ἦν. Ἐπιτρέψαντες οὖν τῷ πνεύματι καὶ παραδόν-

---

[14] "Lo relativo a". — [15] "En poder mío" (por ser un dios protector de la navegación). — [16] Ulises.

233. [1] Lit. "habiendo dejado (adentrarse a la nave)". — [2] El océano Atlántico. — [3] Tradúzcanse este aoristo y los sucesivos como pluscuamperfectos. — [4] Acusativo temporal. — [5] (ἀνέμῳ). — [6] Con valor temporal. — [7] (ἡμέρᾳ). — [8] "Al salir el sol". — [9] Con valor de primera

τες ἑαυτοὺς [9] ἐχειμαζόμεθα ἡμέρας ἐννέα καὶ ἑβδομήκοντα [4], τῇ ὀγδοηκοστῇ δὲ ἄφνω ἐκλάμψαντος ἡλίου [6] καθορῶμεν [10] οὐ πόρρω νῆσον ὑψηλὴν καὶ δασεῖαν, οὐ τραχεῖ περιηχουμένην τῷ κύματι· καὶ γὰρ ἤδη τὸ πολὺ τῆς ζάλης κατεπέπαυτο. Προσσχόντες οὖν καὶ ἀποβάντες ὡς ἂν [11] ἐκ μακρᾶς ταλαιπωρίας πολὺν μὲν ἐπὶ τῆς γῆς χρόνον [4] ἐκείμεθα, διαναστάντες δὲ ὅμως [12] ἀπεκρίναμεν ἡμῶν αὐτῶν τριάκοντα μὲν φύλακας [13] τῆς νεὼς παραμένειν [14], εἴκοσι δὲ σὺν ἐμοὶ ἀνελθεῖν [14] ἐπὶ κατασκοπῇ τῶν ἐν τῇ νήσῳ. Προελθόντες δὲ ὅσον σταδίους τρεῖς ἀπὸ τῆς θαλάττης δι' ὕλης ὁρῶμέν [10] τινα στήλην χαλκοῦ [13] πεποιημένην, Ἑλληνικοῖς γράμμασι καταγεγραμμένην, ἀμυδροῖς δὲ καὶ ἐκτετριμμένοις, λέγουσαν· «ἄχρι τούτων Ἡρακλῆς καὶ Διόνυσος ἀφίκοντο». Ἦν δὲ καὶ ἴχνη δύο πλησίον ἐπὶ πέτρας, τὸ μὲν πλεθριαῖον [15], τὸ δὲ ἔλαττον· ἐμοὶ δοκεῖν [16], τὸ μὲν τοῦ Διονύσου, τὸ μικρότερον, θάτερον δὲ Ἡρακλέους. Προσκυνήσαντες δ' οὖν προῇμεν· οὔπω δὲ πολὺ παρῇμεν καὶ ἐφιστάμεθα ποταμῷ οἴνῳ [17] ῥέοντι ὁμοιοτάτῳ [17] μάλιστα οἷόσπερ [18] ὁ Χῖός ἐστιν. Ἄφθονον δὲ ἦν τὸ ῥεῦμα καὶ πολύ, ὥστε ἐνιαχοῦ καὶ ναυσίπορον εἶναι δύνασθαι. Ἐπῄει οὖν ἡμῖν πολὺ μᾶλλον πιστεύειν τῷ ἐπὶ τῆς στήλης ἐπιγράμματι, ὁρῶσι [19] τά σημεῖα τῆς Διονύσου ἐπιδημίας. Δόξαν δέ μοι [20] καὶ ὅθεν ἄρχεται ὁ ποταμὸς καταμαθεῖν, ἀνῄειν παρὰ τὸ ῥεῦμα, καὶ πηγὴν μὲν οὐδεμίαν εὗρον αὐτοῦ, πολλὰς δὲ καὶ μεγάλας ἀμπέλους, πλήρεις βοτρύων, παρὰ δὲ τὴν ῥίζαν ἑκάστην ἀπέρρει σταγὼν οἴνου διαυγοῦς, ἀφ' ὧν ἐγίνετο ὁ ποταμός. Ἦν δὲ καὶ ἰχθῦς ἐν αὐτῷ πολλοὺς

---

persona. — [10] Presente histórico. — [11] (ἀποβαῖμεν). — [12] A pesar del cansancio. — [13] Predicativo. — [14] Final. — [15] Heródoto IV 82 cita una huella de Heracles que medía dos codos de largo. — [16] "A mi parecer". — [17] Instrumental con verbo "fluir". — [18] Incoherencia sintáctica: como si hubiera dicho τοιούτῳ. — [19] Causal. — [20] Acusativo

ἰδεῖν, οἴνῳ μάλιστα καὶ τὴν χρόαν[21] καὶ τὴν γεῦσιν[21] προσεοικότας· ἡμεῖς γοῦν ἀγρεύσαντες αὐτῶν τινας καὶ ἐμφαγόντες ἐμεθύσθημεν· ἀμέλει καὶ ἀνατεμόντες αὐτοὺς εὑρίσκομεν[10] τρυγὸς μεστούς. Ὕστερον μέντοι ἐπινοήσαντες τοὺς ἄλλους ἰχθῦς, τοὺς ἀπὸ τοῦ ὕδατος, παραμιγνύναι ἐπραΰνομεν τὸ σφοδρὸν τῆς οἰνοφαγίας. Τότε δὲ τόν ποταμὸν διαπεράσαντες, ᾗ διαβατός ἦν, εὕρομεν ἀμπέλων χρῆμα τεράστιον· τὸ μὲν γὰρ ἀπὸ τῆς γῆς, ὁ στέλεχος αὐτός[22], εὐερνὴς καὶ παχύς, τό δὲ ἄνω γυναῖκες ἦσαν, ὅσον ἐκ τῶν λαγόνων[23] ἅπαντα ἔχουσαι τέλεια. Τοιαύτην παρ' ἡμῖν τὴν Δάφνην γράφουσιν[24] ἄρτι τοῦ Ἀπόλλωνος[25] καταλαμβάνοντος ἀποδενδρουμένην. Ἀπό δὲ τῶν δακτύλων ἄκρων[26] ἐξεφύοντο αὐταῖς οἱ κλάδοι καὶ μεστοὶ ἦσαν βοτρύων. Καὶ μὴν καὶ τὰς κεφαλὰς[21] ἐκόμων ἕλιξί τε καὶ φύλλοις καὶ βότρυσι. Προσελθόντας δὲ ἡμᾶς ἠσπάζοντό τε καὶ ἐδεξιοῦντο, αἱ μὲν Λύδιον, αἱ δ' Ἰνδικὴν, αἱ πλεῖσται δὲ τὴν Ἑλλάδα φωνὴν προϊέμεναι. Καὶ ἐφίλουν δὲ ἡμᾶς τοῖς στόμασιν· ὁ δὲ φιληθεὶς αὐτίκα ἐμέθυε καὶ παράφορος ἦν... Ἐπὶ ναῦν ἐφεύγομεν[27] καί... λαβόντες ἀμφορέας τινὰς καὶ ὑδρευσάμενοί τε ἅμα καὶ ἐκ τοῦ ποταμοῦ οἰνισάμενοι καὶ αὐτοῦ[28] πλησίον ἐπὶ τῆς ᾐόνος αὐλισάμενοι ἕωθεν ἀνήχθημεν οὐ σφόδρα βιαίῳ πνεύματι· περὶ μεσημβρίαν δὲ οὐκέτι τῆς νήσου φαινομένης ἄφνω τυφῶν ἐπιγενόμενος καὶ περιδινήσας τὴν ναῦν καὶ μετεωρίσας ὅσον ἐπὶ σταδίους τρισχιλίους οὐκέτι καθῆκεν ἐς τὸ πέλαγος, ἀλλ' ἄνω μετέωρον ἐξηρτημένην[29] ἄνεμος ἐμπεσὼν τοῖς ἱστίοις ἔφερε[30] κολπώσας τὴν ὀθόνην.

---

absoluto causal. — 21 Acusativo de relación. — 22 "(Era)". — 23 "Sólo de caderas para arriba". — 24 Impersonal. — 25 "Justamente en el momento en que Apolo". — 26 "De las puntas de los dedos". — 27 Después de haber perdido dos compañeros. — 28 Adverbio. — 29 Predicativos. — 30 A la nave.

234.

La guerra de los astros
(I 10-20)

῾Επτὰ δὲ ἡμέρας καὶ τὰς ἴσας νύκτας [1] ἀεροδρομήσαντες ὀγδόῃ καθορῶμεν γῆν τινα μεγάλην ἐν τῷ ἀέρι καθάπερ νῆσον, λαμπρὰν καὶ σφαιροειδῆ καὶ φωτὶ μεγάλῳ καταλαμπομένην· προσενεχθέντες δέ αὐτῇ καὶ ὁρμισάμενοι ἀπέβημεν, ἐπισκοποῦντες δὲ τὴν χώραν εὑρίσκομεν [2] οἰκουμένην τε καὶ γεωργουμένην [3]. ῾Ημέρας [4] μὲν οὖν οὐδέν αὐτόθεν καθεωρῶμεν, νυκτὸς δέ ἐπιγενομένης [5] ἐφαίνοντο ἡμῖν καὶ ἄλλαι πολλαὶ νῆσοι πλησίον, αἱ μέν μείζους, αἱ δέ μικρότεραι, πυρὶ τὴν χροιὰν [6] προσεοικυῖαι, καὶ ἄλλη δέ τις γῆ κάτω καὶ πόλεις ἐν αὐτῇ καὶ ποταμούς ἔχουσα καὶ πελάγη καὶ ὕλας καὶ ὄρη. Ταύτην οὖν τὴν καθ' ἡμᾶς οἰκουμένην εἰκάζομεν [2]. Δόξαν δὲ ἡμῖν καὶ ἔτι πορρωτέρω προελθεῖν [7], συνελήφθημεν τοῖς ῾Ιππογύποις παρ' αὐτοῖς καλουμένοις ἀπαντήσαντες. Οἱ δ' ῾Ιππόγυποι οὗτοί εἰσιν ἄνδρες ἐπὶ γυπῶν μεγάλων ὀχούμενοι καὶ καθάπερ ἵπποις [8] τοῖς ὀρνέοις χρώμενοι· μεγάλοι γὰρ οἱ γῦπες καὶ ὡς ἐπίπαν τρικέφαλοι. Μάθοι δ' ἄν τις τὸ μέγεθος αὐτῶν ἐντεῦθεν [9]· νεὼς γὰρ μεγάλης φορτίδος ἱστοῦ [10] ἕκαστον τῶν πτερῶν [11] μακρότερον καὶ παχύτερον [3] φέρουσι. Τούτοις οὖν τοῖς ῾Ιππογύποις προστέτακται περιπετομένοις τὴν γῆν, εἴ τις εὑρεθείη [12] ξένος, ἀνάγειν ὡς [13] τόν βασιλέα· καὶ δὴ καὶ ἡμᾶς

---

234. [1] Acusativo temporal. — [2] Presente histórico. — [3] Predicativos. — [4] "De día". — [5] Con valor temporal. — [6] Acusativo de relación. [7] Acusativo absoluto. — [8] Predicativo. — [9] "A partir de lo siguiente". — [10] Genitivo de comparación, del que depende νεώς... μεγάλης φορτίδος (Homero dice, en *Od.* IX 321-324, que la maza del Ciclope era como el mástil de una νηὸς ἐεικοσόροιο μελαίνης φορτίδος εὐρείης). [11] "De las plumas". — [12] Optativo iterativo con verbo de la principal

συλλαβόντες ἀνάγουσιν[2] ὡς[13] αὐτόν. Ὁ δὲ[14] θεασάμενος καὶ ἀπὸ τῆς στολῆς εἰκάσας, «Ἕλληνες ἄρα», ἔφη, «ὑμεῖς, ὦ ξένοι;» Συμφησάντων[15] δέ, «Πῶς οὖν ἀφίκεσθε», ἔφη, «τοσοῦτον ἀέρα διελθόντες;» Καὶ ἡμεῖς τὸ πᾶν αὐτῷ διηγούμεθα· καὶ ὅς[14] ἀρξάμενος[16] τὸ καθ' αὐτὸν ἡμῖν διεξῄει, ὡς καὶ αὐτὸς ἄνθρωπος ὢν τοὔνομα[6] Ἐνδυμίων ἀπὸ τῆς ἡμετέρας γῆς καθεύδων ἀναρπασθείη[17] ποτὲ καὶ ἀφικόμενος βασιλεύσειε[18] τῆς χώρας· εἶναι δὲ τὴν γῆν ἐκείνην ἔλεγε τὴν ἡμῖν κάτω φαινομένην[19] σελήνην. Ἀλλὰ θαρρεῖν τε παρεκελεύετο καὶ μηδένα κίνδυνον ὑφορᾶσθαι· πάντα γὰρ ἡμῖν παρέσεσθαι[20] ὧν[21] δεόμεθα. «Ἢν δὲ καὶ κατορθώσω», ἔφη, «τὸν πόλεμον, ὃν ἐκφέρω νῦν πρὸς τοὺς τὸν ἥλιον κατοικοῦντας, ἁπάντων[22] εὐδαιμονέστατα παρ' ἐμοὶ καταβιώσεσθε». Καὶ ἡμεῖς ἠρόμεθα τίνες τε εἶεν[17] οἱ πολέμιοι καὶ τὴν αἰτίαν τῆς διαφορᾶς· Ὁ δέ[14], «Φαέθων», φησίν[2], «ὁ τῶν ἐν τῷ ἡλίῳ κατοικούντων βασιλεύς —οἰκεῖται γὰρ δὴ κἀκεῖνος ὥσπερ καὶ ἡ σελήνη— πολὺν ἤδη πρὸς ἡμᾶς πολεμεῖ χρόνον[1]. Ἤρξατο δὲ ἐξ αἰτίας τοιαύτης· τῶν ἐν τῇ ἀρχῇ τῇ ἐμῇ ποτε τοὺς ἀπορωτάτους συναγαγὼν ἐβουλήθην ἀποικίαν ἐς τὸν Ἑωσφόρον στεῖλαι, ὄντα ἔρημον καὶ ὑπὸ μηδενὸς κατοικούμενον· ὁ τοίνυν Φαέθων φθονήσας ἐκώλυε τὴν ἀποικίαν κατὰ μέσον τὸν πόρον ἀπαντήσας ἐπὶ[23] τῶν Ἱππομυρμήκων[24]. Τότε μὲν οὖν νικηθέντες —οὐ γὰρ ἦμεν ἀντίπαλοι τῇ παρασκευῇ— ἀνεχωρήσαμεν· νῦν δὲ βούλομαι αὖθις ἐξενεγκεῖν τὸν πόλεμον καὶ ἀποστεῖλαι τὴν ἀποικίαν. Ἢν οὖν ἐθέλητε, κοινωνήσατέ μοι τοῦ στόλου, γῦπας δὲ ὑμῖν ἐγὼ παρέξω τῶν

---

no en pasado: uso postclásico. — [13] Preposición. — [14] Demostrativo. — [15] (ἡμῶν). — [16] "(A hablar)". — [17] Oblicuo. — [18] Oblicuo e ingresivo. [19] "La que aparece abajo ante nosotros como". — [20] Estilo indirecto a través del γάρ. — [21] Sin antecedente. — [22] De comparación. — [23] "Al frente de". — [24] Heródoto III 102 habla de hormigas mayores que zo-

βασιλικῶν ἕνα ἑκάστῳ καὶ τὴν ἄλλην ὅπλισιν· αὔριον δὲ ποιησόμεθα τὴν ἔξοδρν». «Οὕτως», ἔφην ἐγώ, «γινέσθω, ἐπειδή σοι δοκεῖ».

Τότε μὲν οὖν παρ' αὐτῷ ἑστιαθέντες ἐμείναμεν, ἕωθεν δὲ διαναστάντες ἐταττόμεθα· καὶ γὰρ οἱ σκοποὶ ἐσήμαινον πλησίον εἶναι τοὺς πολεμίους... Συμμίξαντες δὲ ἐπειδὴ τὰ σημεῖα ἤρθη καὶ ὠγκήσαντο ἑκατέρων οἱ ὄνοι —τούτοις γὰρ ἀντὶ σαλπιστῶν χρῶνται— ἐμάχοντο. Καὶ τὸ μὲν εὐώνυμον τῶν Ἡλιωτῶν αὐτίκα ἔφυγον [25] οὐδ' ἐς χεῖρας δεξάμενοι τοὺς Ἱππογύπους, καὶ ἡμεῖς εἰπόμεθα κτείνοντες· τὸ δεξιὸν δὲ αὐτῶν ἐκράτει τοῦ ἐπὶ τῷ ἡμετέρῳ εὐωνύμου [26], καὶ ἐπεξῆλθον οἱ Ἀεροκώνωπες [27] διώκοντες ἄχρι πρὸς τοὺς πεζούς. Ἐνταῦθα δὲ κἀκείνων [28] ἐπιβοηθούντων ἔφυγον ἐγκλίναντες [29], καὶ μάλιστα ἐπεὶ ᾔσθοντο τοὺς ἐπὶ τῷ εὐωνύμῳ σφῶν νενικημένους [30]. Τῆς δὲ τροπῆς λαμπρᾶς γεγενημένης [31] πολλοὶ μὲν ζῶντες ἡλίσκοντο, πολλοὶ δὲ καὶ ἀνῃροῦντο, καὶ τὸ αἷμα ἔρρει πολὺ [8] μὲν ἐπὶ τῶν νεφῶν, ὥστε αὐτὰ βάπτεσθαι καὶ ἐρυθρὰ φαίνεσθαι, οἷα παρ' ἡμῖν δυομένου τοῦ ἡλίου [31] φαίνεται, πολὺ [8] δὲ καὶ ἐς τὴν γῆν κατέσταζεν, ὥστε με εἰκάζειν, μὴ ἄρα τοιούτου τινὸς καὶ πάλαι ἄνω γενομένου [32] Ὅμηρος [33] ὑπέλαβεν αἵματι ὖσαι τὸν Δία ἐπὶ τῷ τοῦ Σαρπηδόνος θανάτῳ. Ἀναστρέψαντες δὲ ἀπὸ τῆς διώξεως δύο τρόπαια ἐστήσαμεν, τὸ μὲν ἐπὶ τῶν ἀραχνίων τῆς πεζομαχίας [34], τὸ δὲ τῆς ἀερομαχίας ἐπὶ τῶν νεφῶν. Ἄρτι δὲ τούτων γινομένων [31] ἠγγέλλοντο ὑπὸ τῶν σκοπῶν οἱ Νεφελοκένταυροι προσελαύνοντες [30], οὓς

---

rras. — [25] Concordancia *ad sensum*. — [26] Genitivo con verbo de "vencer". — [27] Tropas del ejército solar. — [28] Los de infantería. — [29] Los heliotas. — [30] Completiva participial. — [31] Genitivo absoluto. — [32] "Si no sería porque algo semejante hubiera ocurrido arriba en tiempos por lo que". — [33] *Il.* XVI 459-460. — [34] "El uno, relativo al combate de infantería, sobre las telarañas" (pues las arañas aliadas de Endimión

ἔδει πρὸ τῆς μάχης ἐλθεῖν [35] τῷ Φαέθοντι. Καὶ δὴ ἐφαίνοντο προσιόντες, θέαμα παραδοξότατον [36], ἐξ ἵππων πτερωτῶν καὶ ἀνθρώπων συγκείμενοι· μέγεθος δὲ τῶν μὲν ἀνθρώπων ὅσον [37] τοῦ 'Ροδίων κολοσσοῦ ἐξ ἡμισείας ἐς τὸ ἄνω [38], τῶν δὲ ἵππων ὅσον νεὼς μεγάλης φορτίδος. Τὸ μέντοι πλῆθος αὐτῶν οὐκ ἀνέγραψα, μή [39] τῳ καὶ ἄπιστον δόξῃ, τοσοῦτον ἦν [40]. 'Ηγεῖτο δὲ αὐτῶν ὁ ἐκ τοῦ Ζῳδιακοῦ τοξότης [41]. 'Επεὶ δὲ ᾔσθοντο τοὺς φίλους νενικημένους [30], ἐπὶ μὲν τὸν Φαέθοντα ἔπεμπον ἀγγελίαν αὖθις ἐπιέναι [39], αὐτοὶ δὲ διαταξάμενοι τεταραγμένοις ἐπιπίπτουσι τοῖς Σεληνίταις, ἀτάκτως περὶ τὴν δίωξιν καὶ τὰ λάφυρα διεσκεδασμένοις· καὶ πάντας μὲν τρέπουσιν, αὐτὸν δὲ τὸν βασιλέα καταδιώκουσι πρὸς τὴν πόλιν καὶ τὰ πλεῖστα τῶν ὀρνέων αὐτοῦ κτείνουσιν· ἀνέσπασαν δὲ καὶ τὰ τρόπαια καὶ κατέδραμον ἅπαν τὸ ὑπὸ τῶν ἀραχνῶν πεδίον ὑφασμένον, ἐμὲ δὲ καὶ δύο τινὰς τῶν ἑταίρων ἐζώγρησαν. Ἤδη δὲ παρῆν καὶ ὁ Φαέθων καὶ αὖθις ἄλλα τρόπαια ὑπ' ἐκείνων [29] ἵστατο. 'Ημεῖς μὲν οὖν ἀπηγόμεθα ἐς τὸν ἥλιον αὐθημερὸν τὼ χεῖρε [6] ὀπίσω δεθέντες ἀραχνίου ἀποκόμματι. Οἱ δὲ [29] πολιορκεῖν μὲν οὐκ ἔγνωσαν τὴν πόλιν, ἀναστρέψαντες δὲ τὸ μεταξὺ τοῦ ἀέρος [42] ἀπετείχιζον, ὥστε μηκέτι τὰς αὐγὰς ἀπὸ τοῦ ἡλίου πρὸς τὴν σελήνην διήκειν. Τὸ δὲ τεῖχος ἦν διπλοῦν, νεφελωτόν· ὥστε σαφὴς ἔκλειψις τῆς σελήνης ἐγεγόνει καὶ νυκτὶ διηνεκεῖ πᾶσα κατείχετο. Πιεζόμενος δὲ τούτοις ὁ 'Ενδυμίων πέμψας [43] ἱκέτευε καθαιρεῖν τὸ οἰκοδόμημα καὶ μὴ σφᾶς [44] περιορᾶν ἐν σκότῳ βιοτεύοντας,

---

habían preparado, con sus telas, un campo de batalla). — [35] "Deberían haberle llegado (como aliados)". — [36] Aposición a toda la frase. — [37] "(Era) como (el)". — [38] "De cintura para arriba" (el célebre coloso medía setenta codos). — [39] Final. — [40] Nosotros diríamos "su número era tan grande, que no...". — [41] Sagitario. — [42] El espacio aéreo que hay entre el sol y la luna. — [43] "(Un mensajero)". — [44] Los selenitas. —

ὑπισχνεῖτο δὲ καὶ φόρους τελέσειν καὶ σύμμαχος ἔσεσθαι καὶ μηκέτι πολεμήσειν, καὶ ὁμήρους ἐπὶ τούτοις δοῦναι ἤθελεν. Οἱ δὲ περὶ τὸν Φαέθοντα γενομένης δὶς ἐκκλησίας[31] τῇ προτέρᾳ μὲν οὐδὲν παρέλυσαν τῆς ὀργῆς[45], τῇ ὑστέρᾳ δὲ μετέγνωσαν, καὶ ἐγένετο ἡ εἰρήνη ἐπὶ τούτοις[46]· «Κατὰ τάδε συνθήκας ἐποιήσαντο οἱ Ἡλιῶται καὶ οἱ σύμμαχοι πρὸς Σεληνίτας καὶ τοὺς συμμάχους, ἐπὶ τῷ καταλῦσαι μὲν τοὺς Ἡλιώτας τὸ διατείχισμα καὶ μηκέτι ἐς τὴν σελήνην ἐσβάλλειν, ἀποδοῦναι δὲ καὶ τοὺς αἰχμαλώτους ῥητοῦ ἕκαστον χρήματος[47], τοὺς δὲ Σεληνίτας ἀφεῖναι μὲν αὐτονόμους τούς γε ἄλλους ἀστέρας, ὅπλα δὲ μὴ ἐπιφέρειν τοῖς Ἡλιώταις, συμμαχεῖν δὲ τῇ ἀλλήλων[48], ἤν τις ἐπίῃ· φόρον δὲ ὑποτελεῖν ἑκάστου ἔτους[49] τὸν βασιλέα τῶν Σεληνιτῶν τῷ βασιλεῖ τῶν Ἡλιωτῶν δρόσου ἀμφορέας μυρίους, καὶ ὁμήρους δὲ σφῶν αὐτῶν[44] δοῦναι μυρίους, τὴν δὲ ἀποικίαν τὴν ἐς τὸν Ἑωσφόρον κοινῇ ποιεῖσθαι καὶ μετέχειν τῶν ἄλλων τὸν βουλόμενον[50]· ἐγγράψαι δὲ τὰς συνθήκας στήλῃ ἠλεκτρίνῃ καὶ ἀναστῆσαι ἐν μέσῳ τῷ ἀέρι ἐπὶ τοῖς μεθορίοις. Ὤμοσαν δὲ Ἡλιωτῶν μὲν Πυρωνίδης καὶ Θερίτης καὶ Φλόγιος, Σεληνιτῶν δὲ Νύκτωρ καὶ Μήνιος καὶ Πολυλάμπης».

235.
Los selenitas
(I 21-26)

Τοιαύτη μὲν ἡ εἰρήνη ἐγένετο· εὐθὺς δὲ τὸ τεῖχος καθῃρεῖτο καὶ ἡμᾶς τοὺς αἰχμαλώτους ἀπέδοσαν. Ἐπεὶ δὲ ἀφι-

---

45 "Cedieron en su cólera". — 46 Imitación de tratados históricos como el de Tucídides V 18-19. — 47 "Por la cantidad de dinero que para cada uno se estipule". — 48 "Ayudar los unos al país de los otros". — 49 Genitivo temporal. — 50 "El que quiera de entre los demás pueblos".

κόμεθα ἐς τὴν σελήνην, ὑπηντίαζον ἡμᾶς καὶ ἠσπάζοντο μετὰ δακρύων οἵ τε ἑταῖροι καὶ ὁ Ἐνδυμίων αὐτός. Καὶ ὁ μὲν ἠξίου[1] μεῖναί τε παρ' αὐτῷ καὶ κοινωνεῖν τῆς ἀποικίας... Ἐγὼ δὲ οὐδαμῶς ἐπειθόμην, ἀλλ' ἠξίουν ἀποπεμφθῆναι κάτω ἐς τὴν θάλατταν. Ὡς δὲ ἔγνω ἀδύνατον ὂν[2] πείθειν, ἀποπέμπει ἡμᾶς ἑστιάσας ἑπτὰ ἡμέρας. Ἃ δὲ μεταξὺ διατρίβων[3] ἐν τῇ σελήνῃ κατενόησα καινὰ καὶ παράδοξα, ταῦτα βούλομαι εἰπεῖν... Ἐπειδὰν... γηράσῃ[4] ὁ ἄνθρωπος, οὐκ ἀποθνήσκει, ἀλλ' ὥσπερ ὁ καπνὸς διαλυόμενος ἀὴρ γίνεται. Τροφὴ δὲ πᾶσιν αὕτη· ἐπειδὰν γὰρ[5] πῦρ ἀνακαύσωσι[4], βατράχους ὀπτῶσιν ἐπὶ τῶν ἀνθράκων· πολλοὶ δὲ παρ' αὐτοῖς εἰσιν ἐν τῷ ἀέρι πετόμενοι· ὀπτωμένων[6] δὲ περικαθεζόμενοι ὥσπερ δὴ περὶ τράπεζαν κάπτουσι[7] τὸν ἀναθυμιώμενον καπνὸν καὶ εὐωχοῦνται. Σίτῳ μὲν δὴ τρέφονται τοιούτῳ· ποτὸν δὲ αὐτοῖς ἐστιν ἀὴρ ἀποθλιβόμενος ἐς κύλικα ὑγρὸν ἀνιεὶς ὥσπερ δρόσον... Καλὸς δὲ νομίζεται παρ' αὐτοῖς ἤν πού τις φαλακρὸς[8] καὶ ἄκομος ᾖ, τοὺς δὲ κομήτας καὶ μυσάττονται. Ἐπὶ δὲ τῶν κομητῶν ἀστέρων τοὐναντίον[9] τοὺς κομήτας νομίζουσι καλούς· ἐπεδήμουν γάρ τινες, οἳ καὶ περὶ ἐκείνων διηγοῦντο[10]. Καὶ μὴν καὶ γένεια φύουσι μικρὸν ὑπὲρ[11] τὰ γόνατα. Καὶ ὄνυχας ἐν

---

235. [1] "(Que yo)". — [2] Completiva participial. — [3] "Mientras viví". [4] Iterativo. — [5] No se traduce. — [6] Genitivo absoluto temporal sin sujeto. — [7] Hay otra variante λάπτουσι: el pasaje recuerda al de Heródoto IV 75, sobre la costumbre de los escitas (en que, a su vez, hay reminiscencias de algo parecido a la sauna finlandesa) de aspirar vapores procedentes de piedras ardientes; cf. también I 202, sobre un uso parecido de los maságetas. — [8] Heródoto habla (IV 23) de un pueblo compuesto por calvos de nacimiento. — [9] Anticipación de la frase siguiente. — [10] Es lógico que, según estas noticias de viajeros que han estado en los cometas, los habitantes de éstos prefieran a los cabelludos, puesto que κομήτης significa precisamente eso, "astro con cabellera". — [11] "Hasta

τοῖς ποσὶν οὐκ ἔχουσιν, ἀλλὰ πάντες εἰσὶ μονοδάκτυλοι. Ὑπὲρ δὲ τὰς πυγὰς ἑκάστῳ αὐτῶν κράμβη ἐκπέφυκε μακρὰ ὥσπερ οὐρά, θάλλουσα ἐς ἀεὶ καὶ ὑπτίου ἀναπίπτοντος[12] οὐ κατακλωμένη. Ἀπομύττονται δὲ μέλι δριμύτατον· κἀπειδὰν ἢ πονῶσιν[4] ἢ γυμνάζωνται[4], γάλακτι πᾶν τὸ σῶμα[13] ἱδροῦσιν, ὥστε καὶ τυροὺς ἀπ' αὐτοῦ πήγνυσθαι[14], ὀλίγον τοῦ μέλιτος ἐπιστάξαντες[15]· ἔλαιον δὲ ποιοῦνται ἀπὸ τῶν κρομμύων πάνυ λιπαρόν τε καὶ εὐῶδες ὥσπερ μύρον. Ἀμπέλους δὲ πολλὰς ἔχουσιν ὑδροφόρους· αἱ γὰρ ῥᾶγες τῶν βοτρύων εἰσὶν ὥσπερ χάλαζα, καί μοι δοκεῖ[16] ἐπειδὰν ἐμπεσὼν ἄνεμος διασείσῃ τὰς ἀμπέλους ἐκείνας, τότε πρὸς ἡμᾶς καταπίπτει ἡ χάλαζα διαρραγέντων τῶν βοτρύων[17]. Τῇ μέντοι γαστρὶ ὅσα[18] πήρᾳ χρῶνται τιθέντες ἐν αὐτῇ ὅσων[19] δέονται· ἀνοικτὴ γὰρ αὐτοῖς[8] αὕτη καὶ πάλιν κλειστή ἐστιν· ἔντερον δὲ οὐδὲν ἐν αὐτῇ φαίνεται ἤπερ τοῦτο μόνον[20], ὅτι δασεῖα πᾶσα ἔντοσθεν καὶ λάσιός ἐστιν, ὥστε καὶ τὰ νεογνά, ἐπειδὰν ῥιγῶσιν[21], ἐς ταύτην ὑποδύεται. Ἐσθὴς δὲ τοῖς μὲν πλουσίοις[8] ὑαλίνη[22] μαλθακή, τοῖς πένησι[8] δὲ χαλκῆ ὑφαντή· πολύχαλκα γὰρ τὰ ἐκεῖ χωρία καὶ ἐργάζονται[23] τὸν χαλκὸν ὕδατι ὑποβρέξαντες ὥσπερ τὰ ἔρια. Περὶ μέντοι τῶν ὀφθαλμῶν, οἵους[24] ἔχουσιν, ὀκνῶ

---

un poco más arriba de". — 12 Genitivo absoluto concesivo sin sujeto. — 13 Acusativo de relación. — 14 Media: sujeto, los selenitas. — 15 Anacoluto: como si hubiera dicho πηγνῦσι o πήγνυνται. — 16 Parentético. — 17 Genitivo absoluto causal. — 18 Igual a ὡς: la palabra siguiente es predicativa. — 19 Falta el antecedente. — 20 La versión un poco libre sería "ni nada más, sino que". — 21 Iterativo: plural con sujeto neutro. Luciano no puede haber tenido noticias del canguro; pero existían rumores acerca de una bolsa marsupial en peces como el tiburón. — 22 Heródoto, refiriéndose al algodón, había hablado (VII 65) de vestidos de madera. — 23 Impersonal. — 24 Introduce una interrogativa indirecta precedida por una especie de prolepsis: igual a περὶ τοῦ οἵους ἔχουσι

μὲν εἰπεῖν, μή[25] τίς με νομίσῃ ψεύδεσθαι διὰ τὸ ἄπιστον τοῦ λόγου[26]. Ὅμως δὲ καὶ τοῦτο ἐρῶ· τοὺς ὀφθαλμοὺς ἐξαιρετοὺς ἔχουσι, καὶ ὁ βουλόμενος ἐξελὼν τοὺς αὐτοῦ φυλάττει ἔστ' ἂν δεηθῇ ἰδεῖν· οὕτω[27] δ' ἐνθέμενος ὁρᾷ· καὶ πολλοὶ τοὺς σφετέρους ἀπολέσαντες παρ' ἄλλων χρησάμενοι ὁρῶσιν. Εἰσὶ δ'[28] οἳ καὶ πολλοὺς ἀποθέτους ἔχουσιν. Τὰ ὦτα δὲ πλατάνων φύλλα ἐστὶν αὐτοῖς[8]... Καὶ μὴν καὶ ἄλλο θαῦμα ἐν τοῖς βασιλείοις ἐθεασάμην· κάτοπτρον μέγιστον κεῖται ὑπὲρ φρέατος οὐ πάνυ βαθέος. Ἂν[29] μὲν οὖν ἐς τὸ φρέαρ καταβῇ τις, ἀκούει πάντων τῶν παρ' ἡμῖν ἐν τῇ γῇ λεγομένων, ἐὰν δὲ ἐς τὸ κάτοπτρον ἀποβλέψῃ, πάσας μὲν πόλεις, πάντα δὲ ἔθνη ὁρᾷ ὥσπερ ἐφεστὼς ἑκάστοις· τότε καὶ τοὺς οἰκείους ἐγὼ ἐθεασάμην καὶ πᾶσαν τὴν πατρίδα, εἰ[30] δὲ κἀκεῖνοι ἐμὲ ἑώρων, οὐκ ἔχω τὸ ἀσφαλὲς[31] εἰπεῖν. Ὅστις δὲ ταῦτα μὴ πιστεύει οὕτως ἔχειν, ἄν[29] ποτε καὶ αὐτὸς ἐκεῖσε ἀφίκηται, εἴσεται ὡς ἀληθῆ λέγω.

236.

Regreso a la tierra

(I 27-29)

Τότε δ' οὖν ἀσπασάμενοι τὸν βασιλέα καὶ τοὺς ἀμφ' αὐτὸν ἐμβάντες ἀνήχθημεν· ἐμοὶ δὲ καὶ δῶρα ἔδωκεν ὁ Ἐνδυμίων, δύο μὲν τῶν ὑαλίνων χιτώνων, πέντε δὲ χαλκοῦς, καὶ πανοπλίαν θερμίνην, ἃ πάντα ἐν τῷ κήτει κατέ-

---

τοὺς ὀφθαλμούς. — 25 "No vaya a ser que". — 26 Este miembro explica a νομίσῃ. — 27 "En ese caso". — 28 "(Personas)". — 29 Conjunción. — 30 Introduce interrogativa indirecta. — 31 "Con seguridad".

λιπον[1]. Συνέπεμψε δὲ ἡμῖν καὶ Ἱππογύπους χιλίους παραπέμψοντας ἄχρι σταδίων πεντακοσίων. Ἐν δὲ τῷ παράπλῳ πολλὰς μὲν καὶ ἄλλας χώρας παρημείψαμεν, προσέσχομεν δὲ καὶ τῷ Ἑωσφόρῳ ἄρτι συνοικιζομένῳ καὶ ἀποβάντες ὑδρευσάμεθα. Ἐμβάντες δὲ ἐς τὸν Ζῳδιακὸν ἐν ἀριστερᾷ παρῇμεν τὸν ἥλιον ἐν χρῷ παραπλέοντες· οὐ γὰρ ἀπέβημεν καίτοι πολλὰ τῶν ἑταίρων ἐπιθυμούντων[2], ἀλλ' ὁ ἄνεμος οὐκ ἐφῆκεν. Ἐθεώμεθα μέντοι τὴν χώραν εὐθαλῆ τε καὶ πίονα καὶ εὔυδρον καὶ πολλῶν ἀγαθῶν μεστήν. Ἰδόντες δ' ἡμᾶς οἱ Νεφελοκένταυροι, μισθοφοροῦντες παρὰ τῷ Φαέθοντι, ἐπέπτησαν ἐπὶ τὴν ναῦν καὶ μαθόντες[3] ἐνσπόνδους ἀνεχώρησαν. Ἤδη δὲ καὶ οἱ Ἱππόγυποι ἀπεληλύθεσαν· πλεύσαντες δὲ τὴν ἐπιοῦσαν νύκτα καὶ ἡμέραν, περὶ ἑσπέραν ἀφικόμεθα ἐς τὴν Λυχνόπολιν καλουμένην, ἤδη τὸν κάτω[4] πλοῦν διώκοντες. Ἡ δὲ πόλις αὕτη κεῖται μεταξὺ τοῦ Πλειάδων καὶ τοῦ Ὑάδων ἀέρος, ταπεινοτέρα[5] μέντοι πολὺ τοῦ Ζῳδιακοῦ. Ἀποβάντες δὲ ἄνθρωπον μὲν οὐδένα εὕρομεν, λύχνους δὲ περιθέοντας καὶ ἐν τῇ ἀγορᾷ καὶ περὶ τὸν λιμένα διατρίβοντας, τοὺς μὲν μικροὺς καὶ ὡς ἔπος εἰπεῖν[6] πένητας πολλούς, ὀλίγους δὲ τῶν μεγάλων καὶ δυνατῶν πάνυ λαμπροὺς καὶ περιφανεῖς. Οἰκήσεις δὲ αὐτοῖς καὶ λυχνεῶνες[7] ἰδίᾳ ἑκάστῳ πεποίηντο, καὶ αὐτοὶ[8] ὀνόματα εἶχον, ὥσπερ οἱ ἄνθρωποι, καὶ φωνὴν προϊεμένων ἠκούομεν, καὶ οὐδὲν ἡμᾶς ἠδίκουν, ἀλλὰ καὶ ἐπὶ ξένια ἐκάλουν· ἡμεῖς δὲ ὅμως ἐφοβούμεθα, καὶ οὔτε δειπνῆσαι οὔτε ὑπνῶσαί τις ἡμῶν ἐτόλμησεν. Ἀρχεῖα δὲ αὐτοῖς ἐν μέσῃ τῇ πόλει πεποίηται, ἔνθα ὁ ἄρχων αὐτῶν διὰ νυκτὸς ὅλης κάθηται ὀνομαστὶ καλῶν ἕκαστον· ὃς[9] δ' ἂν μὴ ὑπα-

236. [1] Más tarde. — [2] Concesivo con tal valor indicado por καίτοι frente al más usual καίπερ. — [3] "(Que estábamos)". — [4] "Hacia la tierra". — [5] Con idea local. — [6] "Por así decirlo". — [7] "Viviendas o, mejor dicho, candelabros". — [8] Los candiles. — [9] Sin antecedente. —

κούσῃ, καταδικάζεται ἀποθανεῖν ὡς λιπὼν τὴν τάξιν· ὁ δὲ θάνατός ἐστι σβεσθῆναι. Παρεστῶτες δὲ ἡμεῖς ἑωρῶμεν τά γινόμενα καὶ ἠκούομεν ἅμα τῶν λύχνων ἀπολογουμένων καὶ τὰς αἰτίας λεγόντων δι' ἃς ἐβράδυνον[10]. Ἔνθα καὶ τόν ἡμέτερον λύχνον ἐγνώρισα καὶ προσειπὼν αὐτὸν περὶ τῶν κατ' οἶκον[11] ἐπυνθανόμην ὅπως ἔχοιεν[12]· ὁ δέ μοι ἅπαντα ἐκεῖνα διηγήσατο. Τήν μὲν οὖν νύκτα ἐκείνην αὐτοῦ[13] ἐμείναμεν, τῇ δὲ ἐπιούσῃ[14] ἄραντες ἐπλέομεν ἤδη πλησίον τῶν νεφῶν· ἔνθα δὴ καὶ τὴν Νεφελοκοκκυγίαν πόλιν ἰδόντες ἐθαυμάσαμεν, οὐ μέντοι ἐπέβημεν αὐτῆς· οὐ γὰρ εἴα τὸ πνεῦμα. Βασιλεύειν μέντοι αὐτῶν ἐλέγετο Κόρωνος[15] ὁ Κοττυφίωνος. Καὶ ἐγὼ ἐμνήσθην Ἀριστοφάνους τοῦ ποιητοῦ, ἀνδρὸς σοφοῦ καὶ ἀληθοῦς καὶ μάτην ἐφ' οἷς ἔγραψεν ἀπιστουμένου. Τρίτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ καὶ τὸν Ὠκεανόν ἤδη σαφῶς ἑωρῶμεν, γῆν δὲ οὐδαμοῦ, πλήν γε τῶν ἐν τῷ ἀέρι[16]· καὶ αὗται δὲ πυρώδεις ἤδη καὶ ὑπεραυγεῖς[17] ἐφαντάζοντο. Τῇ δὲ τετάρτῃ[14] περὶ μεσημβρίαν μαλακῶς ἐνδιδόντος τοῦ πνεύματος καὶ συνιζάνοντος ἐπὶ τὴν θάλατταν κατετέθημεν.

237.

En el vientre del monstruo

(I 30-35)

Ὡς δὲ τοῦ ὕδατος[1] ἐψαύσαμεν, θαυμασίως ὑπερηδόμεθα καὶ ὑπερεχαίρομεν καὶ πᾶσαν ἐκ τῶν παρόντων εὐφροσύνην

---

10 Tradúzcase como pluscuamperfecto. — 11 Especie de prolepsis: igual a ἐπυνθανόμην ὅπως ἔχοιεν οἱ κατ' οἶκον. — 12 Oblicuo. — 13 Adverbio. — 14 (ἡμέρᾳ). — 15 Construcción personal. — 16 Los astros que, al estar más lejos, van tomando el aspecto que tienen vistos desde aquí. 17 Predicativo.

ἐποιούμεθα[2] καὶ ἀποβάντες[3] ἐνηχόμεθα· καὶ γὰρ ἔτυχε γαλήνη οὖσα καὶ εὐσταθοῦν τὸ πέλαγος. Ἔοικε δὲ ἀρχὴ κακῶν μειζόνων γίνεσθαι πολλάκις ἡ πρὸς τὸ βέλτιον μεταβολή· καὶ γὰρ ἡμεῖς δύο μόνας ἡμέρας ἐν εὐδίᾳ πλεύσαντες τῆς τρίτης ὑποφαινούσης[4] πρὸς ἀνίσχοντα[5] τὸν ἥλιον ἄφνω ὁρῶμεν[6] θηρία καὶ κήτη πολλὰ μὲν καὶ ἄλλα, ἓν δὲ μέγιστον ἁπάντων ὅσον σταδίων χιλίων καὶ πεντακοσίων τὸ μέγεθος[7]· ἐπῄει δὲ κεχηνὸς καὶ πρὸ πολλοῦ[8] ταράττον τὴν θάλατταν ἀφρῷ τε περικλυζόμενον καὶ τοὺς ὀδόντας ἐκφαῖνον πολὺ τῶν παρ' ἡμῖν φαλλῶν[9] ὑψηλοτέρους, ὀξεῖς δὲ πάντας ὥσπερ σκόλοπας καὶ λευκοὺς ὥσπερ ἐλεφαντίνους. Ἡμεῖς μὲν οὖν τὸ ὕστατον[10] ἀλλήλους προσειπόντες καὶ περιβαλόντες ἐμένομεν· τὸ[11] δὲ ἤδη παρῆν καὶ ἀναρροφῆσαν ἡμᾶς αὐτῇ νηὶ[12] κατέπιεν. Οὐ μέντοι ἔφθη[13] συναράξαι τοῖς ὀδοῦσιν, ἀλλὰ διὰ τῶν ἀραιωμάτων ἡ ναῦς ἐς τὸ ἔσω διεξέπεσεν. Ἐπεὶ δὲ ἔνδον ἦμεν, τὸ μὲν πρῶτον[10] σκότος ἦν καὶ οὐδὲν ἑωρῶμεν, ὕστερον δὲ αὐτοῦ ἀναχανόντος[4] εἴδομεν κύτος μέγα καὶ πάντῃ πλατὺ καὶ ὑψηλόν, ἱκανὸν μυριάνδρῳ πόλει ἐνοικεῖν. Ἔκειντο δὲ ἐν μέσῳ καὶ μικροὶ ἰχθύες καὶ ἄλλα πολλὰ θηρία συγκεκομμένα καὶ πλοίων ἱστία καὶ ἄγκυραι καὶ ἀνθρώπων ὀστᾶ καὶ φορτία, κατὰ μέσον δὲ καὶ γῆ καὶ λόφοι ἦσαν, ἐμοὶ δο-

237. [1] Genitivo con verbo "tocar". — [2] "Nos entregamos a los regocijos de toda clase que permitían las circunstancias". — [3] "Saltando por la borda". — [4] Genitivo absoluto temporal. — [5] "Al salir". — [6] Presente histórico. — [7] Acusativo de relación. — [8] "Muy por delante de sí". — [9] Se refiere a los obeliscos o columnas que había en Siria, patria de Luciano, y a que, según se cuenta en *Sobre la diosa siria* 28, ascendían, al modo de los posteriores estilitas, determinados ascetas para orar más cerca de la divinidad. Allí se mencionan varios de Hierápolis a los que es atribuida una altura de 300 codos. Obsérvese que el cetáceo tiene dientes, como el cachalote, y no barbas, como la ballena. — [10] Adverbial. — [11] El monstruo. — [12] "Con nave y todo". — [13] "Pero no tuvo

κεῖν[14], ἐκ τῆς ἰλύος ἣν κατέπιε[15] συνιζάνουσα[16]. Ὕλη γοῦν ἐπ' αὐτῆς καὶ δένδρα παντοῖα ἐπεφύκει καὶ λάχανα ἐβεβλαστήκει καὶ ἐῴκει πάντα ἐξειργασμένοις[17]. Περίμετρον δὲ τῆς γῆς στάδιοι διακόσιοι καὶ τετταράκοντα. Ἦν[18] δὲ ἰδεῖν καὶ ὄρνεα θαλάττια, λάρους καὶ ἀλκυόνας, ἐπὶ τῶν δένδρων νεοττεύοντα[19]. Τότε μὲν οὖν ἐπὶ πολὺ ἐδακρύομεν, ὕστερον δὲ ἀναστήσαντες[20] τοὺς ἑταίρους τὴν μὲν ναῦν ὑπεστηρίξαμεν[21], αὐτοὶ δὲ τὰ πυρεῖα[22] συντρίψαντες καὶ πῦρ ἀνακαύσαντες δεῖπνον ἐκ τῶν παρόντων[23] ἐποιούμεθα. Παρέκειτο δὲ ἄφθονα καὶ παντοδαπὰ κρέα τῶν ἰχθύων καὶ ὕδωρ ἔτι τὸ ἐκ τοῦ Ἑωσφόρου εἴχομεν. Τῇ ἐπιούσῃ[24] δὲ διαναστάντες, εἴ ποτε ἀναχάνοι[25] τὸ κῆτος, ἑωρῶμεν ἄλλοτε μὲν γῆν, ἄλλοτε δὲ ὄρη, ἄλλοτε δὲ μόνον τὸν οὐρανόν, πολλάκις δὲ καὶ νήσους· καὶ γὰρ ᾐσθανόμεθα φερομένου αὐτοῦ[26] ὀξέως πρὸς πᾶν μέρος τῆς θαλάττης. Ἐπεὶ δὲ ἤδη ἐθάδες τῇ διατριβῇ ἐγενόμεθα, λαβὼν ἑπτὰ τῶν ἑταίρων ἐβάδιζον ἐς τὴν ὕλην περισκοπήσασθαι τὰ πάντα βουλόμενος. Οὔπω δ' ὅλους πέντε διελθὼν σταδίους εὗρον ἱερὸν Ποσειδῶνος, ὡς ἐδήλου ἡ ἐπιγραφή, καὶ μετ' οὐ πολὺ καὶ τάφους πολλοὺς καὶ στήλας ἐπ' αὐτῶν πλησίον τε πηγὴν ὕδατος διαυγοῦς, ἔτι δὲ

---

tiempo de". — [14] "A mi parecer". — [15] Tradúzcase como pluscuamperfecto. — [16] Concordando sólo con γῇ. — [17] "Y todo parecía estar cultivado". — [18] "Era posible". — [19] Quizá hay aquí ecos de la historia de Jonás, el profeta del siglo VIII a. J. C. Naturalmente, el monstruo no es considerado como mamífero, sino como pez con agallas. — [20] Es de suponer que el que les hizo levantarse fue el narrador solo, como jefe. [21] Probablemente sacan la nave del "mar interior" varándola en seco en la isla y apuntalando sus costados. — [22] Los πυρεῖα son un trozo cóncavo de madera (ἐσχάρα) y un vástago (τρύπανον) del mismo material que se hacía girar rápidamente sobre el otro para producir chispas en la yesca. — [23] "(La mejor) comida (posible) en (aquellas) circunstancias". [24] (ἡμέρᾳ). — [25] Iterativo en el pasado. — [26] Completiva participial. —

καὶ κυνὸς ὑλακὴν ἠκούομεν καὶ καπνὸς ἐφαίνετο πόρρωθεν καί τινα καὶ ἔπαυλιν εἰκάζομεν[27]. Σπουδῇ οὖν βαδίζοντες ἐφιστάμεθα πρεσβύτῃ καὶ νεανίσκῳ[28] μάλα προθύμως πρασιάν τινα ἐργαζομένοις καὶ ὕδωρ ἀπὸ τῆς πηγῆς ἐπ' αὐτὴν διοχετεύουσιν· ἡσθέντες οὖν ἅμα καὶ φοβηθέντες ἔστημεν· κἀκεῖνοι δὲ ταὐτὸν ἡμῖν ὡς τὸ εἰκὸς[29] παθόντες ἄναυδοι παρεστήκεσαν· χρόνῳ δὲ ὁ πρεσβύτης ἔφη· «Τίνες ἄρα ὑμεῖς ἐστε, ὦ ξένοι; Πότερον», ἔφη, «τῶν ἐναλίων δαιμόνων[30] ἢ ἄνθρωποι δυστυχεῖς ἡμῖν παραπλήσιοι; Καὶ γὰρ ἡμεῖς ἄνθρωποι ὄντες καὶ ἐν γῇ τραφέντες νῦν θαλάττιοι γεγόναμεν καὶ συννηχόμεθα τῷ περιέχοντι τούτῳ θηρίῳ, οὐδ'[31] ἃ πάσχομεν ἀκριβῶς εἰδότες· τεθνάναι μὲν γὰρ εἰκάζομεν, ζῆν δὲ πιστεύομεν[32]». Πρὸς ταῦτα κἀγὼ εἶπον· «Καὶ ἡμεῖς[33] τοι ἄνθρωποι νεήλυδες, ὦ πάτερ, αὐτῷ σκάφει[12] πρῴην καταποθέντες. Προήλθομεν δὲ νῦν βουλόμενοι μαθεῖν τὰ ἐν τῇ ὕλῃ[34] ὡς ἔχει· πολλὴ γάρ τις καὶ λάσιος ἐφαίνετο. Δαίμων δέ τις, ὡς ἔοικεν, ἡμᾶς ἤγαγε σέ τε ὀψομένους[35] καὶ εἰσομένους[35] ὅτι μὴ[36] μόνοι ἐν τῷδε καθείργμεθα τῷ θηρίῳ· ἀλλὰ φράσον γε ἡμῖν τὴν σαυτοῦ τύχην, ὅστις ὢν ὅπως[37] δεῦρο εἰσῆλθες». Ὁ δὲ οὐ πρότερον[38] ἔφη[39] ἐρεῖν οὐδὲ πεύσεσθαι παρ' ἡμῶν πρὶν ξενίων τῶν παρόντων μεταδοῦναι, καὶ λαβὼν ἡμᾶς ἦγεν ἐπὶ τὴν οἰκίαν —ἐπεποίητο[40] δὲ αὐτάρκη— παραθεὶς δὲ ἡμῖν λάχανά τε καὶ ἀκρόδρυα καὶ ἰχθῦς, ἔτι δὲ καὶ οἶνον ἐγχέας, ἐπειδὴ ἱκανῶς ἐκορέσθημεν, ἐπυνθάνετο ἃ ἐπεπόνθειμεν· κἀγὼ πάντα ἑξῆς διηγησάμην, τόν τε χειμῶνα καὶ τὰ ἐν

---

[27] "Creíamos ver". — [28] Nótese que el "muchacho" lleva veintisiete años en el vientre del animal. — [29] "Como (es) natural". — [30] Partitivo. — [31] "Ni siquiera". — [32] "Suponemos que estamos muertos, pero también tenemos esperanza de que vivamos". — [33] "También nosotros (somos)". — [34] Prolepsis. — [35] Final. — [36] Uso tardío de μή en vez de οὐ. — [37] "Quién eres y cómo". — [38] No se traduce. — [39] "Se negó a". — [40] Media. — [41] "Du-

τῇ νήσῳ καὶ τὸν ἐν τῷ ἀέρι πλοῦν, καὶ τὸν πόλεμον, καὶ τὰ ἄλλα μέχρι τῆς ἐς τὸ κῆτος καταδύσεως. Ὁ δὲ ὑπερθαυμάσας καὶ αὐτὸς ἐν μέρει τὰ καθ' ἑαυτὸν διεξῄει λέγων· «Τὸ μὲν γένος[7] εἰμί, ὦ ξένοι, Κύπριος, ὁρμηθεὶς δὲ κατ' ἐμπορίαν ἀπὸ τῆς πατρίδος μετὰ τοῦ παιδός, ὃν ὁρᾶτε, καὶ ἄλλων πολλῶν οἰκετῶν ἔπλεον ἐς Ἰταλίαν ποικίλον φόρτον κομίζων ἐπὶ νεὼς μεγάλης, ἣν ἐπὶ στόματι τοῦ κήτους διαλελυμένην ἴσως ἑωράκατε. Μέχρι μὲν οὖν Σικελίας εὐτυχῶς διεπλεύσαμεν· ἐκεῖθεν δὲ ἁρπασθέντες ἀνέμῳ σφοδρῷ τριταῖοι[41] ἐς τὸν Ὠκεανὸν ἀπηνέχθημεν, ἔνθα τῷ κήτει περιτυχόντες καὶ αὔτανδροι καταποθέντες[42] δύο ἡμεῖς μόνοι τῶν ἄλλων ἀποθανόντων[43] ἐσώθημεν. Θάψαντες δὲ τοὺς ἑταίρους καὶ ναὸν τῷ Ποσειδῶνι δειμάμενοι τουτονὶ[44] τὸν βίον ζῶμεν, λάχανα μὲν κηπεύοντες, ἰχθῦς δὲ σιτούμενοι καὶ ἀκρόδρυα. Πολλὴ δέ, ὡς ὁρᾶτε, ἡ ὕλη, καὶ μὴν καὶ ἀμπέλους ἔχει πολλάς, ἀφ' ὧν ἥδιστος οἶνος γίνεται· καὶ τὴν πηγὴν δὲ ἴσως εἴδετε καλλίστου καὶ ψυχροτάτου ὕδατος. Εὐνὴν δὲ ἀπὸ τῶν φύλλων ποιούμεθα καὶ πῦρ ἄφθονον καίομεν καὶ ὄρνεα δὲ θηρεύομεν τὰ ἐσπετόμενα[45] καὶ ζῶντας ἰχθῦς ἀγρεύομεν ἐξιόντες ἐπὶ τὰ βράγχια τοῦ θηρίου, ἔνθα καὶ λούμεθα[46], ὁπόταν ἐπιθυμήσωμεν. Καὶ μὴν καὶ λίμνη οὐ πόρρω ἐστὶν ἁλμυρὰ σταδίων εἴκοσι τὸ περίμετρον[7] ἰχθῦς ἔχουσα παντοδαπούς, ἐν ᾗ καὶ νηχόμεθα καὶ πλέομεν ἐπὶ σκάφους μικροῦ, ὃ ἐγὼ ἐναυπηγησάμην. Ἔτη δὲ ἡμῖν[47] ἐστι τῆς καταπόσεως ταῦτα ἑπτὰ καὶ εἴκοσι. Καὶ τὰ μὲν ἄλλα ἴσως φέρειν ἐδυνάμεθα, οἱ δὲ γείτονες ἡμῶν καὶ πάροικοι σφόδρα χαλεποὶ καὶ βαρεῖς εἰσιν, ἄμικτοί τε ὄντες καὶ ἄγριοι...

---

rante tres días". — 42 El καταποθέντες es ilógico: no lo sería καὶ αὐτάνδρου τῆς νεὼς καταποθείσης. — 43 Genitivo absoluto. — 44 Va con ναόν. — 45 A través de la gran boca. — 46 De λούω. — 47 Dativo de relación.

238.

Nuevos combates y liberación

(I 36-41 y II 1-2)

»Τοιαύτη μὲν ἡ χώρα ἐστίν· ἡμᾶς δὲ χρὴ ὁρᾶν ὅπως δυνησόμεθα τοσούτοις ἔθνεσι μάχεσθαι καὶ ὅπως βιοτεύσομεν[1]». «Πόσοι δέ», ἔφην ἐγώ, «πάντες οὗτοί εἰσι;» «Πλείους», ἔφη, «τῶν χιλίων». «Ὅπλα δὲ τίνα ἐστὶν αὐτοῖς[2];» «Οὐδέν», ἔφη, «πλὴν τὰ ὀστᾶ τῶν ἰχθύων». «Οὐκοῦν», ἔφην ἐγώ, «ἄριστ' ἂν ἔχοι[3] διὰ μάχης ἐλθεῖν αὐτοῖς ἅτε ἀνόπλοις οὖσιν[4] αὐτούς[5] γε ὡπλισμένους· εἰ γὰρ κρατήσομεν αὐτῶν, ἀδεῶς τὸν λοιπὸν βίον[6] οἰκήσομεν». Ἔδοξε ταῦτα, καὶ ἀπελθόντες ἐπὶ ναῦν παρεσκευαζόμεθα. Αἰτία δὲ τοῦ πολέμου ἔμελλεν ἔσεσθαι τοῦ φόρου[7] ἡ οὐκ ἀπόδοσις[8], ἤδη τῆς προθεσμίας ἐνεστώσης[9]. Καὶ δὴ οἱ μὲν ἔπεμπον[10] ἀπαιτοῦντες τὸν δασμόν· ὁ δὲ[11] ὑπεροπτικῶς ἀποκρινάμενος ἀπεδίωξε τοὺς ἀγγέλους. Πρῶτοι[12] οὖν οἱ Ψηττόποδες καὶ οἱ Παγουρίδαι χαλεπαίνοντες τῷ Σκινθάρῳ —τοῦτο γὰρ ἐκαλεῖτο[13]— μετὰ πολλοῦ θορύβου ἐπῄεσαν. Ἡμεῖς δὲ τὴν ἔφοδον ὑποπτεύοντες ἐξοπλισάμενοι ἀνεμένομεν, λόχον τινὰ προτάξαντες ἀνδρῶν πέντε καὶ εἴκοσιν· προείρητο δὲ τοῖς ἐν τῇ ἐνέδρᾳ, ἐπειδὰν ἴδωσι παρεληλυθότας τοὺς πολεμίους[14], ἐπανίστασθαι· καὶ οὕτως ἐποίη-

---

238. 1 Termina de hablar el anciano después de haber descrito las distintas clases de seres que les acosan. — 2 Posesivo. — 3 "Lo mejor sería". — 4 Participio con valor causal indicado por ἅτε. — 5 "Nosotros". Es sujeto de ἐλθεῖν. — 6 Acusativo temporal. — 7 Ha dicho antes que se ve obligado a pagar a los Ψηττόποδες quinientas ostras al año para poder cultivar sus tierras. — 8 Rasgo intencionadamente parodiado de la sintaxis tucididea. — 9 Concesivo. — 10 "(Mensajeros)". — 11 El anciano. — 12 Predicativo. — 13 "Así era llamado (el anciano)". Más adelante dirá que su hijo se llamaba Cíniras. — 14 Completiva participial. —

σαν. Ἐπαναστάντες γὰρ κατόπιν ἔκοπτον αὐτούς, καὶ ἡμεῖς δὲ καὶ αὐτοὶ πέντε καὶ εἴκοσι[15] τὸν ἀριθμὸν ὄντες —καὶ γὰρ ὁ Σκίνθαρος καὶ ὁ παῖς αὐτοῦ συνεστρατεύοντο— ὑπηντιάζομεν καὶ συμμίξαντες θυμῷ καὶ ῥώμῃ διεκινδυνεύομεν. Τέλος[16] δὲ τροπὴν αὐτῶν[17] ποιησάμενοι κατεδιώξαμεν ἄχρι πρὸς τοὺς φωλεούς. Ἀπέθανον δὲ τῶν μὲν πολεμίων ἑβδομήκοντα καὶ ἑκατόν, ἡμῶν δὲ εἷς ὁ κυβερνήτης τρίγλης πλευρᾷ διαπαρεὶς τὸ μετάφρενον[18]. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα[6] ἐπηυλισάμεθα τῇ μάχῃ[19] καὶ τρόπαιον ἐστήσαμεν ῥάχιν ξηρὰν δελφῖνος ἀναπήξαντες. Τῇ ὑστεραίᾳ δὲ καὶ οἱ ἄλλοι αἰσθόμενοι παρῆσαν, τὸ μὲν δεξιὸν κέρας ἔχοντες οἱ Ταριχᾶνες[20] —ἡγεῖτο δὲ αὐτῶν[21] Πήλαμος— τὸ δ' εὐώνυμον οἱ Θυννοκέφαλοι, τὸ μέσον δὲ οἱ Καρκινόχειρες· οἱ γὰρ Τριτωνομένδητες[22] τὴν ἡσυχίαν ἦγον οὐδετέροις συμμαχεῖν προαιρούμενοι. Ἡμεῖς δὲ προαπαντήσαντες αὐτοῖς παρὰ τὸ Ποσειδώνιον συνεμίξαμεν πολλῇ βοῇ χρώμενοι. Ἀντήχει δὲ τὸ κῆτος ὥσπερ τὰ σπήλαια. Τρεψάμενοι δ' αὐτοὺς ἅτε γυμνῆτας ὄντας[4] καὶ καταδιώξαντες ἐς τὴν ὕλην τὸ λοιπὸν[16] ἐπεκρατοῦμεν τῆς γῆς. Καὶ μετ' οὐ πολὺ κήρυκας ἀποστείλαντες νεκρούς τε ἀνῃροῦντο καὶ περὶ φιλίας διελέγοντο· ἡμῖν δὲ οὐκ ἐδόκει σπένδεσθαι, ἀλλὰ τῇ ὑστεραίᾳ χωρήσαντες ἐπ' αὐτοὺς πάντας ἄρδην ἐξεκόψαμεν πλὴν τῶν Τριτωνομενδήτων. Οὗτοι δὲ ὡς εἶδον τὰ γινόμενα, διαδράντες ἐκ τῶν βραγ-

---

15 Dice claramente que en ese momento la expedición se compone de cuarenta y ocho hombres: dos habían quedado en la isla de las mujeres-vides, pero faltan noticias de otros dos, pues al principio eran el narrador, el piloto y cincuenta tripulantes. — 16 Adverbial. — 17 "(Conmemorativo de la retirada) de ellos". — 18 Acusativo de relación. — 19 "En el campo de batalla". — 20 Imitación de los étnicos del tipo Ἀκαρνᾶνες. — 21 Genitivo con verbo de "mandar". — 22 No está claro este étnico, que contiene el nombre del tritón y el de la ciudad egipcia de

χίων ἀφῆκαν αὐτοὺς ἐς τὴν θάλατταν. Ἡμεῖς δὲ τὴν χώραν ἐπελθόντες ἔρημον ἤδη οὖσαν τῶν πολεμίων τὸ λοιπὸν[16] ἀδεῶς κατῳκοῦμεν, τὰ πολλὰ γυμνασίοις τε καὶ κυνηγεσίοις χρώμενοι[23] καὶ ἀμπελουργοῦντες καὶ τὸν καρπὸν συγκομιζόμενοι τὸν ἐκ τῶν δένδρων, καὶ ὅλως ἐῴκειμεν τοῖς[24] ἐν δεσμωτηρίῳ μεγάλῳ καὶ ἀφύκτῳ τρυφῶσι καὶ λελυμένοις. Ἐνιαυτὸν μὲν οὖν καὶ μῆνας ὀκτὼ[6] τοῦτον διήγομεν τὸν τρόπον[16]. Τῷ δ' ἐνάτῳ μηνὶ πέμπτῃ ἱσταμένου[25] περὶ τὴν δευτέραν τοῦ στόματος ἄνοιξιν —ἅπαξ γὰρ δὴ τοῦτο κατὰ τὴν ὥραν[26] ἑκάστην ἐποίει τὸ κῆτος, ὥστε ἡμᾶς πρὸς τὰς ἀνοίξεις τεκμαίρεσθαι τὰς ὥρας— περὶ οὖν τὴν δευτέραν, ὥσπερ ἔφην, ἄνοιξιν, ἄφνω βοή τε πολλὴ καὶ θόρυβος ἠκούετο καὶ ὥσπερ κελεύσματα καὶ εἰρεσίαι· ταραχθέντες οὖν ἀνειρπύσαμεν ἐπ' αὐτὸ τὸ στόμα τοῦ θηρίου καὶ στάντες ἐνδοτέρω τῶν ὀδόντων καθεωρῶμεν ἁπάντων ὧν[27] ἐγὼ εἶδον θεαμάτων παραδοξότατον, ἄνδρας μεγάλους ὅσον[28] ἡμισταδιαίους τὰς ἡλικίας[18] ἐπὶ νήσων μεγάλων προσπλέοντας[29] ὥσπερ ἐπὶ τριηρῶν. Οἶδα μὲν οὖν ἀπίστοις ἐοικότα ἱστορήσων[14], λέξω δὲ ὅμως.

Νῆσοι ἦσαν ἐπιμήκεις μέν, οὐ πάνυ δὲ ὑψηλαί, ὅσον[28] ἑκατὸν σταδίων[12] ἑκάστη τὸ περίμετρον[18]· ἐπὶ δ' αὐτῶν ἔπλεον τῶν ἀνδρῶν ἐκείνων[30] ἀμφὶ τοὺς εἴκοσι καὶ ἑκατόν[31]· τούτων[30] δὲ οἱ μὲν παρ' ἑκάτερα τῆς νήσου καθήμενοι ἐφεξῆς ἐκωπηλάτουν κυπαρίττοις μεγάλαις αὐτοκλά-

---

Mendes. — [23] "Por regla general dedicados al ejercicio y a la caza". — [24] A pesar del τοῖς, se refiere a unos supuestos prisioneros inexistentes. — [25] "El (día) cinco del (mes) que crece" es equivalente a nuestro día cinco, y la πέμπτη... φθίνοντος, "cinco del (mes) que disminuye", el veinticinco o veintiséis a partir de la luna nueva, esto es, el quinto empezando por el final. — [26] "Hora". — [27] Atracción: en vez de ἅ. — [28] "Poco más o menos". — [29] Heródoto II 156 habla de una isla flotante. — [30] Partitivo. — [31] Una preposición con su régimen haciendo las

δοις καὶ αὐτοκόμοις ὥσπερεὶ ἐρετμοῖς, κατόπιν δὲ ἐπὶ τῆς πρύμνης, ὡς ἐδόκει, κυβερνήτης ἐπὶ λόφου ὑψηλοῦ εἱστήκει χαλκοῦν ἔχων πηδάλιον πεντεσταδιαῖον τὸ μῆκος[18]· ἐπὶ δὲ τῆς πρῴρας ὅσον[28] τετταράκοντα ὡπλισμένοι αὐτῶν ἐμάχοντο πάντα[18] ἐοικότες ἀνθρώποις πλὴν τῆς κόμης· αὕτη δὲ πῦρ ἦν καὶ ἐκαίετο, ὥστε οὐδὲ κορύθων[32] ἐδέοντο. Ἀντὶ δὲ ἱστίων ὁ ἄνεμος ἐμπίπτων τῇ ὕλῃ πολλῇ οὔσῃ ἐν ἑκάστῃ ἐκόλπου τε αὐτὴν καὶ ἔφερε τὴν νῆσον ᾗ ἐθέλοι[33] ὁ κυβερνήτης· κελευστὴς δὲ ἐφειστήκει αὐτοῖς[34] καὶ πρὸς τὴν εἰρεσίαν ὀξέως ἐκινοῦντο[35] ὥσπερ τὰ μακρὰ τῶν πλοίων[30]. Τὸ μὲν οὖν πρῶτον δύο ἢ τρεῖς[35] ἑωρῶμεν, ὕστερον δὲ ἐφάνησαν ὅσον[28] ἑξακόσιαι[35], καὶ διαστάντες[36] ἐπολέμουν καὶ ἐναυμάχουν...

Τὸ δ' ἀπὸ τούτου[37] μηκέτι φέρων ἐγὼ τὴν ἐν τῷ κήτει δίαιταν ἀχθόμενός τε τῇ μονῇ μηχανήν τινα ἐζήτουν, δι' ἧς ἂν ἐξελθεῖν γένοιτο[38]· καὶ τὸ μὲν πρῶτον[16] ἔδοξεν ἡμῖν διορύξασι[39] κατὰ τὸν δεξιὸν τοῖχον[40] ἀποδρᾶναι· καὶ ἀρξάμενοι διακόπτειν, ἐπειδὴ προελθόντες ὅσον[28] πέντε σταδίους οὐδὲν ἠνύομεν, τοῦ μὲν ὀρύγματος ἐπαυσάμεθα, τὴν δὲ ὕλην καῦσαι διέγνωμεν· οὕτω γὰρ ἂν τὸ κῆτος ἀποθανεῖν[41]· εἰ δὲ τοῦτο γένοιτο, ῥᾳδία ἔμελλεν ἡμῖν ἔσεσθαι ἡ ἔξοδος. Ἀρξάμενοι οὖν ἀπὸ τῶν οὐραίων ἐκαίομεν, καὶ ἡμέρας μὲν ἑπτὰ καὶ ἴσας νύκτας[6] ἀναισθήτως εἶχε[42] τοῦ καύματος, ὀγδόῃ δὲ καὶ ἐνάτῃ συνίεμεν αὐτοῦ νοσοῦντος[14]· ἀργότερον[16] γοῦν ἀνέχασκε, καὶ εἴ ποτε ἀνα-

---

veces de sujeto. — [32] Alusión al yelmo homérico (*Il.* V 4) del que brotaban llamas. — [33] Iterativo. — [34] Los remeros. — [35] Las naves-islas. — [36] Los tripulantes de las islas. Sigue la descripción de una batalla naval que recuerda a las de Tucídides. — [37] "A partir de entonces". — [38] "Fuera posible". — [39] Atraído por el dativo anterior. — [40] "Costado (del pez)". — [41] Infinitivo potencial dependiente del verbo de "pensar" que va implícito en lo anterior. — [42] "No se daba cuenta (el monstruo)".

χάνοι[43], ταχὺ συνέμυε. Δεκάτῃ δὲ καὶ ἑνδεκάτῃ τέλεον[16] ἀπενεκροῦτο καὶ δυσῶδες ἦν· τῇ δωδεκάτῃ δὲ μόλις[44] ἐνενοήσαμεν, ὡς, εἰ μή τις χανόντος αὐτοῦ[45] ὑποστηρίξειε[46] τοὺς γομφίους, ὥστε μηκέτι συγκλεῖσαι, κινδυνεύσομεν κατακλεισθέντες ἐν νεκρῷ αὐτῷ ἀπολέσθαι· οὕτω δὴ μεγάλαις δοκοῖς τὸ στόμα διερείσαντες τὴν ναῦν ἐπεσκευάζομεν ὕδωρ τε ὡς ἔνι πλεῖστον[47] ἐμβαλλόμενοι καὶ τὰ ἄλλα ἐπιτήδεια· κυβερνᾶν δ' ἔμελλεν ὁ Σκίνθαρος[48]. Τῇ δ' ἐπιούσῃ τὸ μὲν[49] ἤδη ἐτεθνήκει. Ἡμεῖς δὲ ἀνελκύσαντες τὸ πλοῖον[50] καὶ διὰ τῶν ἀραιωμάτων διαγαγόντες καὶ ἐκ τῶν ὀδόντων ἐξάψαντες ἠρέμα καθήκαμεν ἐς τὴν θάλατταν· ἐπαναβάντες δὲ ἐπὶ τὰ νῶτα καὶ θύσαντες τῷ Ποσειδῶνι αὐτοῦ[16] παρὰ τὸ τρόπαιον[51] ἡμέρας τε τρεῖς ἐπαυλισάμενοι —νηνεμία γὰρ ἦν— τῇ τετάρτῃ ἀπεπλεύσαμεν.

---

[43] Iterativo de pasado. — [44] "Tarde, pero oportunamente". — [45] Genitivo *absoluto temporal.* — [46] *Oblicuo.* — [47] *"En la mayor cantidad posible".* [48] Pues el piloto había muerto. — [49] El cetáceo. — [50] Desde el "mar interior" hasta las encías. — [51] Los vencedores en la batalla naval han clavado, a guisa de trofeo, en la cabeza del cetáceo una de las naves-islas derrotadas.

JENOFONTE

Jenofonte (ca. 430-354 a. J. C.) es autor muy utilizado en la enseñanza de la lengua griega. La sencillez y transparencia de su estilo, la pureza de su Morfología y Sintaxis, que lo sitúan entre los más correctos representantes del dialecto ático; su irreprochabilidad en los aspectos moral e ideológico y, en fin, la simpatía inspirada por su figura de hombre de bien que se trasluce a través de sus obras, han hecho que este escritor se haya convertido en predilecto de las escuelas.

Por regla general, la obra elegida a tales fines es la *Anábasis,* relato de la expedición de Ciro el Joven contra su hermano Artajerjes y de la retirada del ejército expedicionario en que tomó Jenofonte una parte preponderante; y como ese texto, aunque no exento de bellezas, resulta, en general, árido y privado de gran interés, ello ha hecho que el valor literario de la llamada "abeja ática" no haya sido apreciado en el grado en que realmente merece serlo.

Jenofonte no es una de las primeras figuras de la Literatura griega; pero tanto esas cualidades humanas a que antes nos referíamos, como sus excelentes dotes literarias, como la honesta, si no genial, objetividad con que trata los temas históricos en

la citada *Anábasis* o en las *Helénicas*, como la forma amena y clara en que recoge las doctrinas socráticas en las obras de este tipo (*Apología de Sócrates* y *Memorables*, *Económico* y *Banquete* de que aquí se recoge una parte), como, en fin, la buena intención y el ingenuo entusiasmo con que expone sus ideas sobre política y materias técnicas (*La constitución de los lacedemonios*, *Hierón*, *Hipárquico*, *Sobre la hípica*, *Sobre los ingresos*, *Cinegético*) o encomia a sus políticos favoritos (*Agesilao* y Ciro en la *Ciropedia*) colocan a este autor entre los más dignos de ser leídos.

El *Económico* es obra escrita por Jenofonte sin pretensiones, pero con cariño. Las cuestiones tratadas por Sócrates y por unos supuestos intelocutores en una versión más o menos lograda del diálogo socrático resultan interesantes y nos dan una idea muy clara del estilo y temperamento de Jenofonte, que, evidentemente, se sentía atraído por las materias relacionadas con la administración doméstica y los problemas planteados por el cultivo de los campos.

El *Banquete* es un libro poco extenso en que Jenofonte nos hace ver cómo discuten y conversan de sobremesa varios conocidos personajes atenienses. El trozo que recogemos contiene dos bellos elogios de la pobreza: Cármides, que ha sido despojado de sus muchos bienes, ensalza la tranquilidad de que ahora goza en oposición con sus temores e incomodidades de antes; y Antístenes se considera a sí mismo rico, no teniendo casi nada, y ello porque la verdadera riqueza no está en lo material, sino en el espíritu.

Las llamadas *Memorables*, que sería mejor designar como *Recuerdos*, son una obra en que Jenofonte, que fue discípulo de Sócrates, se propone defender su memoria y recoger algunas conversaciones en que su maestro trataba temas generalmente

relacionados con la moral. Sin ánimo de establecer comparaciones entre estos diálogos socráticos y los de Platón, podemos decir que aquéllos son un valioso testimonio sin el cual conoceríamos peor al Sócrates verdadero.

239.

Ciro y Lisandro

(*Económico* IV 18-25)

«Καὶ ναὶ μὰ Δί'» ἔφη ὁ Σωκράτης «Κῦρός γε, εἰ ἐβίωσεν, ἄριστος ἂν δοκεῖ ἄρχων γενέσθαι· καὶ τούτου τεκμήρια ἄλλα τε πολλὰ παρέσχηται καί, ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ ἐπορεύετο μαχούμενος[1], παρὰ μὲν Κύρου οὐδεὶς λέγεται αὐτομολῆσαι πρὸς βασιλέα, παρὰ δὲ τοῦ βασιλέως πολλαὶ μυριάδες πρὸς Κῦρον. Ἐγὼ δὲ καὶ τοῦτο[2] ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ[3] ἂν ἑκόντες πείθωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν.

Ἐκείνῳ δὲ καὶ οἱ φίλοι ζῶντί τε συνεμάχοντο καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι· οὗτος τοίνυν ὁ Κῦρος λέγεται Λυσάνδρῳ, ὅτε ἦλθεν[4] ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμάχων δῶρα[5], ἄλλα τε φιλοφρονεῖσθαι, ὡς αὐτὸς ἔφη ὁ Λύσανδρος ξένῳ ποτέ τινι ἐν Μεγάροις διηγούμενος, καὶ τὸν ἐν Σάρδεσι παράδεισον ἐπιδει-

239. [1] En la marcha hacia la capital de Persia, donde reinaba su hermano Artajerjes, que relata el libro I de la *Anábasis*. — [2] Anticipación de una completiva que ha sido sustituida anacolúticamente por otro giro. — [3] Relativa condicional. — [4] Lisandro. — [5] La entrevista se

κνύναι[6] αὐτὸν ἔφη. Ἐπεὶ δὲ ἐθαύμαζεν αὐτὸν ὁ Λύσανδρος ὡς[7] καλὰ μὲν τὰ δένδρα εἴη, δι' ἴσου δὲ πεφυτευμένα, ὀρθοὶ δὲ οἱ στίχοι τῶν δένδρων, εὐγώνια δὲ πάντα καλῶς εἴη, ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατοῦσι, καὶ ταῦτα θαυμάζων[8] εἶπεν· ' Ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι καὶ διατάξαντος ἕκαστα τούτων '. Ἀκούσαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε καὶ εἰπεῖν[9]· 'Ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα καὶ διεμέτρησα καὶ διέταξα, ἔστι δ' αὐτῶν[10], φάναι, ἃ καὶ ἐφύτευσα αὐτός'. Καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν[11] καὶ ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε καὶ τῆς ὀσμῆς αἰσθόμενος καὶ τῶν στρεπτῶν καὶ τῶν ψελίων καὶ τοῦ ἄλλου κόσμου οὗ εἶχεν, εἰπεῖν[4]· ' Τί λέγεις ' φάναι[9] ' ὦ Κῦρε; Ἦ γὰρ σὺ ταῖς σαῖς χερσὶ τούτων τι ἐφύτευσας;' Καὶ τὸν Κῦρον ἀποκρίνασθαι· ' Θαυμάζεις τοῦτο, ὦ Λύσανδρε; Ὄμνυμί σοι τὸν Μίθρην, ὅτανπερ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν[12] ἱδρῶσαι ἢ τῶν πολεμικῶν τι ἢ τῶν γεωργικῶν ἔργων μελετῶν ἢ ἀεὶ ἕν γέ τι φιλοτιμούμενος '. Καὶ αὐτὸς μέντοι ἔφη ὁ Λύσανδρος ἀκούσας ταῦτα δεξιώσασθαί τε αὐτὸν καὶ εἰπεῖν· ' Δικαίως μοι δοκεῖς, ὦ Κῦρε, εὐδαίμων εἶναι· ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς '».

---

celebró en Sardes el 407 a. J. C. — [6] En realidad, la frase debía terminar aquí: αὐτὸν ἔφη es redundancia. — [7] El ὡς ("cuán") hay que entenderlo como suplido en las tres oraciones siguientes. — [8] καὶ ταῦτα θαυμάζων es pleonástico: el autor teme que el lector pierda el hilo por estar ἐπεί demasiado lejos. — [9] Dependiendo del implícito "dijo Lisandro (al extranjero)". El φάναι es tautológico. — [10] Partitivo dependiente de un (τινά) antecedente de ἅ. — [11] Ciro. — [12] Nosotros decimos "sin".

240.
La casa de Iscómaco
(IX 2-10)

«Οὐ γὰρ ποικίλμασι πολλοῖς κεκόσμηται, ὦ Σώκρατες [1], ἀλλὰ τὰ οἰκήματα ᾠκοδόμηται πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα ὅπως ἀγγεῖα ὡς συμφορώτατα ᾖ τοῖς μέλλουσιν ἐν αὐτοῖς ἔσεσθαι, ὥστε αὐτὰ ἐκάλει [2] τὰ πρέποντα εἶναι ἐν ἑκάστῳ. Ὁ μὲν γὰρ θάλαμος ἐν ὀχυρῷ [3] ὢν τὰ πλείστου ἄξια καὶ στρώματα καὶ σκεύη παρεκάλει, τὰ δὲ ξηρὰ τῶν στεγνῶν τὸν σῖτον, τὰ δὲ ψυχεινὰ τὸν οἶνον, τὰ δὲ φανὰ ὅσα φάους δεόμενα ἔργα τε καὶ σκεύη ἐστί. Καὶ διαιτητήρια δὲ τοῖς ἀνθρώποις [4] ἐπεδείκνυον αὐτῇ κεκαλλωπισμένα τοῦ μὲν θέρους ψυχεινά, τοῦ δὲ χειμῶνος ἀλεεινά. Καὶ σύμπασαν δὲ τὴν οἰκίαν ἐπέδειξα αὐτῇ ὅτι πρὸς μεσημβρίαν ἀναπέπταται, ὥστε εὔδηλον εἶναι ὅτι χειμῶνος μὲν εὐήλιός ἐστι, τοῦ δὲ θέρους εὔσκιος. Ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ, θύρᾳ βαλανωτῇ ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος... Ἐπεὶ δὲ ταῦτα διήλθομεν» ἔφη «οὕτω δὴ ἤδη κατὰ φυλὰς διεκρίνομεν τὰ ἔπιπλα. Ἠρχόμεθα δὲ πρῶτον» ἔφη «ἀθροίζοντες οἷς [5] ἀμφὶ θυσίας χρώμεθα. Μετὰ ταῦτα κόσμον γυναικὸς τὸν εἰς ἑορτὰς διῃροῦμεν, ἐσθῆτα ἀνδρὸς τὴν εἰς ἑορτὰς καὶ πόλεμον, καὶ στρώματα ἐν [6] γυναικωνίτιδι, στρώματα ἐν [6] ἀνδρωνίτιδι, ὑποδήματα γυναικεῖα, ὑποδήματα ἀνδρεῖα. Ὅπλων ἄλλη φυλή [7], ἄλλη ταλασιουργικῶν ὀργάνων, ἄλλη σιτοποιικῶν, ἄλλη ὀψοποιικῶν, ἄλλη τῶν ἀμφὶ λουτρόν, ἄλλη [8] ἀμφὶ μάκτρας [9], ἄλλη [8] ἀμφὶ τραπέ-

---

240. [1] Iscómaco relata a Sócrates cómo ha aconsejado a su esposa que se cuide del orden doméstico y, ante todo, describe las ventajas que para ello ofrecía su casa. — [2] "Ellas mismas invitaban". — [3] "En situación propia para infundir seguridad". — [4] Sin distinción de sexos. — [5] Falta el antecedente. — [6] Entiéndase (τὰ) ἐν. — [7] Súplase ἔστιν en esta oración y las siguientes. — [8] (τῶν). — [9] Parece que hay que tradu-

ζας. Καὶ ταῦτα πάντα διεχωρίσαμεν [10], οἷς τε ἀεὶ δεῖ χρῆσθαι καὶ τὰ θοινητικά. Χωρὶς δὲ καὶ τὰ κατὰ μῆνα δαπανώμενα ἀφείλομεν, δίχα δὲ καὶ τὰ εἰς ἐνιαυτὸν ἀπολελογισμένα κατέθεμεν [11]. Οὕτω γὰρ ἧττον λανθάνει ὅπως πρὸς τὸ τέλος ἐκβήσεται [12]. Ἐπεὶ δὲ ἐχωρίσαμεν πάντα κατὰ φυλὰς τὰ ἔπιπλα, εἰς τὰς χώρας τὰς προσηκούσας ἕκαστα διηνέγκαμεν. Μετὰ δὲ τοῦτο ὅσοις [13] μὲν τῶν σκευῶν καθ' ἡμέραν χρῶνται οἱ οἰκέται, οἷον σιτοποιικοῖς [14], ὀψοποιικοῖς, ταλασιουργικοῖς, καὶ εἴ τι ἄλλο τοιοῦτον, ταῦτα μὲν αὐτοῖς τοῖς χρωμένοις δείξαντες ὅπου δεῖ τιθέναι, παρεδώκαμεν καὶ ἐπετάξαμεν σῶα παρέχειν· ὅσοις δ' εἰς ἑορτὰς ἢ ξενοδοκίας χρώμεθα ἢ εἰς τὰς διὰ χρόνου πράξεις [15], ταῦτα δὲ τῇ ταμίᾳ παρεδώκαμεν, καὶ δείξαντες τὰς χώρας αὐτῶν καὶ ἀπαριθμήσαντες καὶ γραψάμενοι ἕκαστα εἴπομεν αὐτῇ διδόναι τούτων ὅτῳ δέοι ἕκαστον, καὶ μεμνῆσθαι ὅ τι ἄν τῳ διδῷ, καὶ ἀπολαμβάνουσαν κατατιθέναι πάλιν ὅθενπερ ἂν ἕκαστα λαμβάνῃ».

241.
La mañana de Iscómaco
(IX 14-18)

«Ἐγὼ τοίνυν» ἔφη «ὦ Σώκρατες» ὁ Ἰσχόμαχος «ἀνίστασθαι μὲν ἐξ εὐνῆς εἴθισμαι ἡνίκ' ἂν ἔτι ἔνδον καταλαμβά-

---

cir algo así como "(de las cosas) de tocador". — [10] Falta un ταῦτα que sería aposición del otro anterior. — [11] Quiere decir que, en el capítulo de las provisiones, dejaron aparte lo calculado para un año de consumo y, dentro de esta reserva, separaron lo correspondiente a cada mes. — [12] "Cómo (de qué manera más o menos holgada) llegará (cada montón) hasta el final (del mes o del año)". — [13] Unido al ταῦτα que sigue. — [14] Dativos por atracción. — [15] "Las cosas (que sólo se hacen) de tiempo en tiempo".

νοιμι, εἴ τινα δεόμενος ἰδεῖν τυγχάνοιμι. Κἂν μέν τι κατὰ πόλιν δέῃ πράττειν, ταῦτα πραγματευόμενος περιπάτῳ τούτῳ χρῶμαι· ἢν δὲ μηδὲν ἀναγκαῖον ᾖ κατὰ πόλιν, τὸν μὲν ἵππον ὁ παῖς προάγει εἰς ἀγρόν, ἐγὼ δὲ περιπάτῳ χρῶμαι τῇ εἰς ἀγρὸν ὁδῷ ἴσως ἄμεινον, ὦ Σώκρατες, ἢ εἰ ἐν τῷ ξυστῷ περιπατοίην. Ἐπειδὰν δὲ ἔλθω εἰς ἀγρόν, ἤν[1] τέ μοι φυτεύοντες τυγχάνωσιν ἤν[1] τε νειοποιοῦντες ἤν τε σπείροντες ἤν τε καρπὸν προσκομίζοντες, ταῦτα ἐπισκεψάμενος ὅπως ἕκαστα γίγνεται, μεταρρυθμίζω, ἐὰν ἔχω τι βέλτιον τοῦ παρόντος. Μετὰ δὲ ταῦτα ὡς τὰ πολλὰ ἀναβὰς ἐπὶ τὸν ἵππον ἱππασάμην[2] ἱππασίαν ὡς ἂν ἐγὼ δύνωμαι ὁμοιοτάτην ταῖς ἐν τῷ πολέμῳ ἀναγκαίαις ἱππασίαις, οὔτε πλαγίου[3] οὔτε κατάντους οὔτε τάφρου οὔτε ὀχετοῦ ἀπεχόμενος, ὡς μέντοι δυνατὸν ταῦτα ποιοῦντα[4] ἐπιμέλομαι μὴ ἀποχωλεῦσαι τὸν ἵππον. Ἐπειδὰν δὲ ταῦτα γένηται, ὁ παῖς ἐξαλίσας[5] τὸν ἵππον οἴκαδε ἀπάγει, ἅμα φέρων ἀπὸ τοῦ χώρου ἤν τι δεώμεθα εἰς ἄστυ. Ἐγὼ δὲ τὰ μὲν βάδην, τὰ δὲ ἀποδραμὼν οἴκαδε ἀπεστλεγγισάμην[6]. Εἶτα δὲ ἀριστῶ, ὦ Σώκρατες, ὅσα μήτε κενὸς μήτε ἄγαν πλήρης διημερεύειν[7]».

242.

El arte de mandar

(XIII 6-12)

«Οὐκοῦν» ἔφη «ὦ Σώκρατες, τὰ μὲν ἄλλα ζῷα ἐκ δυοῖν τούτοιν τὸ πείθεσθαι μανθάνουσιν[1], ἔκ τε τοῦ[2] ὅταν ἀπει-

---

241. [1] "Ya... ya, etc.". — [2] Aoristo gnómico. — [3] "Marcha en sentido oblicuo (con respecto, por ejemplo, a la falda de una colina)". — [4] El caballo. — [5] Por la arena, para que se le seque el sudor. — [6] Para quitarse la pasta de sudor y polvo (gnómico). — [7] Consecutivo con ὅσα.

θεῖν ἐπιχειρῶσι κολάζεσθαι, καὶ ἐκ τοῦ[2] ὅταν προθύμως ὑπηρετῶσιν εὖ πάσχειν. Οἵ τε γοῦν πῶλοι μανθάνουσιν ὑπακούειν τοῖς πωλοδάμναις τῷ ὅταν μὲν πείθωνται τῶν ἡδέων τι αὐτοῖς γίγνεσθαι[3], ὅταν δὲ ἀπειθῶσι πράγματα ἔχειν[3], ἔστ' ἂν ὑπηρετήσωσι κατὰ γνώμην τῷ πωλοδάμνῃ· καὶ τὰ κυνίδια δὲ πολὺ τῶν ἀνθρώπων καὶ τῇ γνώμῃ καὶ τῇ γλώττῃ ὑποδεέστερα ὄντα ὅμως καὶ περιτρέχειν καὶ κυβιστᾶν καὶ ἄλλα πολλὰ μανθάνει τῷ αὐτῷ τούτῳ τρόπῳ. Ὅταν μὲν γὰρ πείθηται, λαμβάνει τι ὧν δεῖται, ὅταν δὲ ἀμελῇ, κολάζεται. Ἀνθρώπους δ' ἔστι πιθανωτέρους ποιεῖν καὶ λόγῳ, ἐπιδεικνύοντα[4] ὡς συμφέρει αὐτοῖς πείθεσθαι, τοῖς δὲ δούλοις[5] καὶ ἡ δοκοῦσα θηριώδης παιδεία εἶναι πάνυ ἐστὶν ἐπαγωγὸς πρὸς τὸ πείθεσθαι διδάσκειν· τῇ γὰρ γαστρὶ αὐτῶν ἐπὶ ταῖς ἐπιθυμίαις προσχαριζόμενος ἂν πολλὰ ἀνύτοις[6] παρ' αὐτῶν. Αἱ δὲ φιλότιμοι τῶν φύσεων καὶ τῷ ἐπαίνῳ παροξύνονται. Πεινῶσι γὰρ τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων ἢ ἄλλαι τῶν σίτων τε καὶ ποτῶν. Ταῦτά τε οὖν, ὅσαπερ αὐτὸς ποιῶν οἶμαι πιθανωτέροις ἀνθρώποις χρῆσθαι, διδάσκω οὓς ἂν ἐπιτρόπους βούλωμαι καταστῆσαι καὶ τάδε συλλαμβάνω αὐτοῖς· ἱμάτιά τε γὰρ ἃ δεῖ παρέχειν ἐμὲ τοῖς ἐργαστῆρσι καὶ ὑποδήματα οὐχ ὅμοια πάντα ποιῶ, ἀλλὰ τὰ μὲν χείρω, τὰ δὲ βελτίω, ἵνα ᾖ τὸν κρείττω τοῖς βελτίοσι τιμᾶν, τῷ δὲ χείρονι τὰ ἥττω διδόναι. Πάνυ γάρ μοι δοκεῖ» ἔφη «ὦ Σώκρατες, ἀθυμία ἐγγίγνεσθαι τοῖς ἀγαθοῖς, ὅταν ὁρῶσι τὰ μὲν ἔργα δι' αὐτῶν καταπραττόμενα, τῶν δὲ ὁμοίων τυγχάνοντας ἑαυτοῖς τοὺς μήτε πονεῖν μήτε κινδυνεύειν ἐθέλοντας, ὅταν δέῃ. Αὐτός τε οὖν οὐδ' ὁπωσ-

---

242. 1 Nótese el plural, a pesar del sujeto neutro. — 2 Va con el infinitivo. — 3 Con τῷ. — 4 Acusativo concertado con el sujeto tácito de ποιεῖν. — 5 Puestos separadamente de los demás hombres por su inferior calidad moral. — 6 Segunda persona usada con valor imperso-

τιοῦν τῶν ἴσων ἀξιῶ τοὺς ἀμείνους τοῖς κακίοσι τυγχάνειν, τούς τε ἐπιτρόπους, ὅταν μὲν εἰδῶ διαδεδωκότας τοῖς πλείστου ἀξίοις τὰ κράτιστα, ἐπαινῶ, ἢν δὲ ἴδω ἢ κολακεύμασί[7] τινα προτιμώμενον ἢ καὶ ἄλλῃ τινὶ ἀνωφελεῖ χάριτι, οὐκ ἀμελῶ, ἀλλ' ἐπιπλήττω καὶ πειρῶμαι διδάσκειν, ὦ Σώκρατες, ὅτι οὐδ' αὐτῷ σύμφορα ταῦτα ποιεῖ».

243.

El éxito o fracaso en la labranza

(XX 2-15)

«Ἐγώ[1] δή σοι λέξω, ὦ Σώκρατες» ἔφη ὁ Ἰσχόμαχος. «Οὐ γὰρ ἡ ἐπιστήμη οὐδ' ἡ ἀνεπιστημοσύνη τῶν γεωργῶν ἐστιν ἡ ποιοῦσα τοὺς μὲν εὐπορεῖν, τοὺς δὲ ἀπόρους εἶναι· οὐδ' ἂν ἀκούσαις» ἔφη «λόγου οὕτω διαθέοντος ὅτι[2] διέφθαρται ὁ οἶκος, διότι οὐχ ὁμαλῶς ὁ σπορεὺς ἔσπειρεν, οὐδ' ὅτι οὐκ ὀρθῶς τοὺς ὄρχους ἐφύτευσεν[3], οὐδ' ὅτι ἀγνοήσας τις τὴν[4] φέρουσαν ἀμπέλους ἐν ἀφόρῳ ἐφύτευσεν, οὐδ' ὅτι ἠγνόησέ τις ὅτι ἀγαθόν ἐστι τῷ σπόρῳ νεὸν προεργάζεσθαι, οὐδ' ὅτι ἠγνόησέ τις ὡς ἀγαθόν ἐστι τῇ γῇ κόπρον μιγνύναι· ἀλλὰ πολὺ μᾶλλον ἔστιν ἀκοῦσαι· 'ἀνὴρ οὐ λαμβάνει σῖτον ἐκ τοῦ ἀγροῦ· οὐ γὰρ ἐπιμελεῖται ὡς αὐτῷ[5] σπείρηται ἢ ὡς κόπρος γίγνηται. Οὐδ' οἶνον ἔχει ἀνήρ· οὐ γὰρ ἐπιμελεῖται ὡς φυτεύσῃ ἀμπέλους οὐδὲ αἱ οὖσαι ὅπως

---

nal. — 7 "Gracias a alguna lisonja (de que haya hecho objeto al capataz el esclavo)".

243. 1 Iscómaco explica a Sócrates que el éxito o fracaso en la agricultura consiste, más bien que en los conocimientos teóricos, en la diligencia o negligencia en cuanto a la aplicación práctica. — 2 "Que (en un caso determinado)". — 3 "(El plantador)". — 4 Súplase γῆν. —

φέρωσιν αὐτῷ. Οὐδὲ ἔλαιον οὐδὲ σῦκα ἔχει ἀνήρ· οὐ γὰρ ἐπιμελεῖται οὐδὲ ποιεῖ ὅπως ταῦτα ἔχῃ'. Τοιαῦτ'» ἔφη «ἐστίν, ὦ Σώκρατες, ἃ διαφέροντες ἀλλήλων οἱ γεωργοὶ[6] διαφερόντως καὶ πράττουσι πολὺ μᾶλλον[7] ἢ οἱ δοκοῦντες[8] σοφόν τι ηὑρηκέναι εἰς τὰ ἔργα. Καὶ οἱ στρατηγοὶ ἔστιν ἐν οἷς[9] τῶν στρατηγικῶν ἔργων οὐ γνώμῃ διαφέροντες ἀλλήλων οἱ μὲν βελτίονες, οἱ δὲ χείρονές εἰσιν, ἀλλὰ σαφῶς ἐπιμελείᾳ. Ἃ γὰρ καὶ οἱ στρατηγοὶ γιγνώσκουσι πάντες καὶ τῶν ἰδιωτῶν οἱ πλεῖστοι, ταῦτα οἱ μὲν ποιοῦσι τῶν ἀρχόντων, οἱ δ' οὔ. Οἷον καὶ τόδε γιγνώσκουσιν ἅπαντες, ὅτι διὰ πολεμίας[10] πορευομένους βέλτιόν ἐστι τεταγμένους πορεύεσθαι οὕτως ὡς ἂν ἄριστα μάχοιντο, εἰ δέοι. Τοῦτο τοίνυν γιγνώσκοντες οἱ μὲν ποιοῦσιν οὕτως, οἱ δ' οὐ ποιοῦσι. Φυλακὰς ἅπαντες ἴσασιν δτι βέλτιόν ἐστι καθιστάναι καὶ ἡμερινὰς καὶ νυκτερινὰς πρὸ τοῦ στρατοπέδου. Ἀλλὰ καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται ὡς ἔχῃ οὕτως, οἱ δ' οὐκ ἐπιμελοῦνται. Ὅταν τε αὖ διὰ στενοπόρων ἴωσιν, οὐ πάνυ χαλεπὸν εὑρεῖν ὅστις οὐ γιγνώσκει δτι προκαταλαμβάνειν τὰ ἐπίκαιρα κρεῖττον ἢ μή; Ἀλλὰ καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται οὕτω ποιεῖν, οἱ δ' οὔ. Ἀλλὰ καὶ κόπρον λέγουσι μὲν πάντες ὅτι ἄριστον[11] εἰς γεωργίαν ἐστὶ καὶ ὁρῶσι δὲ αὐτομάτην γιγνομένην· ὅμως δὲ καὶ ἀκριβοῦντες ὡς γίγνεται, καὶ ῥᾴδιον ὂν πολλὴν ποιεῖν, οἱ μὲν καὶ τούτου[11] ἐπιμελοῦνται ὅπως ἀθροίζηται, οἱ δὲ παραμελοῦσι. Καίτοι ὕδωρ μὲν ὁ ἄνω θεὸς παρέχει, τὰ δὲ κοῖλα πάντα τέλματα γίγνεται, ἡ γῆ δὲ ὕλην παντοίαν παρέχει· καθαίρειν δὲ δεῖ

---

[5] "(El campo)". — [6] Nominativo absoluto anacolútico. — [7] El primer término de la comparación que sigue sería "los que aventajan en diligencia a los demás". — [8] "Los que pasan por". — [9] ἔστιν ἐν οἷς es una locución estereotipada que equivale a ἐν ἐνίοις. — [10] (χώρας). — [11] Neutro de valor general referido al femenino κόπρος. — [12] "En

τὴν γῆν τὸν μέλλοντα σπείρειν· ἃ δ' ἐκποδὼν ἀναιρεῖται, ταῦτα εἴ τις ἐμβάλλοι εἰς τὸ ὕδωρ, ὁ χρόνος ἤδη αὐτὸς ἂν ποιοίη οἷς ἡ γῆ ἥδεται. Ποία μὲν γὰρ ὕλη, ποία δὲ γῆ ἐν ὕδατι στασίμῳ οὐ κόπρος γίγνεται; Καὶ ὁπόσα[12] δὲ θεραπείας δεῖται ἡ γῆ, ὑγροτέρα γε οὖσα πρὸς τὸν σπόρον ἢ ἁλμωδεστέρα πρὸς φυτείαν, καὶ ταῦτα γιγνώσκουσι μὲν πάντες καὶ ὡς τὸ ὕδωρ ἐξάγεται τάφροις καὶ ὡς ἡ ἅλμη κολάζεται μιγνυμένη πᾶσι τοῖς ἀνάλμοις[13] καὶ ὑγροῖς καὶ ξηροῖς· ἀλλά καὶ τούτων ἐπιμελοῦνται οἱ μέν, οἱ δ' οὔ. Εἰ δέ τις παντάπασιν ἀγνὼς εἴη τί δύναται φέρειν ἡ γῆ, καὶ μήτε ἰδεῖν ἔχοι καρπὸν μηδὲ φυτὸν αὐτῆς, μήτε[14] ὅτου ἀκούσαι[15] τὴν ἀλήθειαν περὶ αὐτῆς ἔχοι, οὐ πολὺ μὲν ῥᾷον γῆς πεῖραν λαμβάνειν παντὶ ἀνθρώπῳ ἢ ἵππου, πολὺ δὲ ῥᾷον ἢ ἀνθρώπου; Οὐ γὰρ ἔστιν ὅ τι ἐπὶ ἀπάτῃ δείκνυσιν[16], ἀλλ' ἁπλῶς ἅ τε δύναται καὶ ἃ μὴ[17] σαφηνίζει τε καὶ ἀληθεύει. Δοκεῖ δέ μοι ἡ γῆ καὶ τοὺς κακούς τε καὶ ἀργοὺς τῷ εὔγνωστα καὶ εὐμαθῆ πάντα παρέχειν[18] ἄριστα ἐξετάζειν. Οὐ γάρ ὥσπερ τὰς ἄλλας τέχνας τοῖς μὴ ἐργαζομένοις ἔστι προφασίζεσθαι ὅτι οὐκ ἐπίστανται, γῆν δὲ πάντες οἴδασιν ὅτι εὖ πάσχουσα εὖ ποιεῖ· ἀλλ' ἡ ἐν γῇ ἀργία ἐστὶ σαφὴς ψυχῆς κατήγορος κακῆς. Ὡς μὲν γάρ ἂν δύναιτο ἄνθρωπος ζῆν ἄνευ τῶν ἐπιτηδείων, οὐδεὶς τοῦτο αὐτὸς αὑτὸν[19] πείθει· ὁ δὲ μήτε ἄλλην τέχνην χρηματοποιὸν ἐπιστάμενος μήτε γεωργεῖν ἐθέλων φανερὸν ὅτι κλέπτων ἢ ἁρπάζων ἢ προσαιτῶν διανοεῖται βιοτεύειν, ἢ παντάπασιν ἀλόγιστός ἐστι».

---

qué medida". — [13] Con valor genérico frente al específico de los dos adjetivos siguientes. — [14] (ἔχοι). — [15] Optativo. — [16] "(La tierra)". — [17] No va con la palabra siguiente. — [18] Va con τῷ. — [19] Forma en vías de estereotiparse convirtiéndose en expresión del reflexivo directo.

244.

Pobres y ricos

(*Banquete* IV 29-38)

«Οὐκοῦν τόδε μέν» ἔφη «ὁμολογεῖται, κρεῖττον εἶναι θαρρεῖν ἢ φοβεῖσθαι καὶ ἐλεύθερον εἶναι μᾶλλον ἢ δουλεύειν καὶ θεραπεύεσθαι μᾶλλον ἢ θεραπεύειν καὶ πιστεύεσθαι ὑπὸ τῆς πατρίδος μᾶλλον ἢ ἀπιστεῖσθαι. Ἐγὼ τοίνυν ἐν τῇδε τῇ πόλει ὅτε μὲν πλούσιος ἦν πρῶτον μὲν ἐφοβούμην μή τίς μου τὴν οἰκίαν διορύξας καὶ τὰ χρήματα λάβοι καὶ αὐτόν τί με κακὸν ἐργάσαιτο· ἔπειτα δὲ καὶ τοὺς συκοφάντας ἐθεράπευον, εἰδὼς ὅτι παθεῖν μᾶλλον κακῶς ἱκανὸς[1] εἴην ἢ ποιῆσαι ἐκείνους[2]. Καὶ γὰρ δὴ καὶ προσετάττετο μὲν ἀεί τί μοι δαπανᾶν ὑπὸ τῆς πόλεως[3], ἀποδημῆσαι δὲ οὐδαμοῦ ἐξῆν[4]. Νῦν δ' ἐπειδὴ τῶν ὑπερορίων[5] στέρομαι καὶ τὰ ἔγγεια[6] οὐ καρποῦμαι καὶ τὰ ἐκ τῆς οἰκίας πέπραται, ἡδέως μὲν καθεύδω ἐκτεταμένος, πιστός δὲ τῇ πόλει γεγένημαι[7], οὐκέτι δὲ ἀπειλοῦμαι, ἀλλ' ἤδη ἀπειλῶ ἄλλοις, ὡς ἐλευθέρῳ τε ἔξεστί μοι καὶ ἀποδημεῖν καὶ ἐπιδημεῖν[8]· ὑπανίστανται δέ μοι ἤδη καὶ θάκων καὶ ὁδῶν ἐξίστανται οἱ πλούσιοι. Καὶ εἰμὶ νῦν μὲν τυράννῳ ἐοικώς, τότε δὲ σαφῶς δοῦλος ἦν· καὶ τότε μὲν ἐγὼ φόρον ἀπέφερον τῷ δήμῳ, νῦν δὲ ἡ πόλις τέλος φέρουσα τρέφει με[9]. Ἀλλὰ καὶ Σωκράτει, ὅτε μὲν πλούσιος ἦν, ἐλοιδόρουν με ὅτι συνῆν,

---

244. [1] Equivale a "expuesto a" con παθεῖν y a "capaz de" con ποιῆσαι. — [2] Los ricos eran víctimas predilectas de los "chantages" de los sicofantas. — [3] Se trata de las prestaciones económicas al Estado llamadas liturgias. — [4] Por el quehacer que le daban sus asuntos y también por otras prestaciones obligatorias de carácter personal, como la trierarquía. — [5] Las rentas de bienes situados en el extranjero. — [6] Los campos que posee en el país. — [7] Porque ya no se le mira con recelo por su influencia y posibilidades. — [8] Expresión polar. — [9] Porque no

νῦν δ᾽ ἐπεὶ πένης γεγένημαι, οὐκέτι οὐδὲν μέλει οὐδενί. Καὶ μὴν ὅτε μέν γε πολλὰ εἶχον, ἀεί τι ἀπέβαλλον ἢ ὑπὸ τῆς πόλεως ἢ ὑπὸ τῆς τύχης· νῦν δὲ ἀποβάλλω μὲν οὐδέν, οὐδὲ γὰρ ἔχω, ἀεὶ δέ τι λήψεσθαι ἐλπίζω».

«Οὐκοῦν» ἔφη ὁ Καλλίας «καὶ εὔχει μηδέποτε πλουτεῖν, καὶ ἐάν τι ὄναρ ἀγαθὸν ἴδῃς, τοῖς ἀποτροπαίοις θύεις[10];»

«Μὰ Δία τοῦτο μέντοι» ἔφη «ἐγὼ οὐ ποιῶ, ἀλλὰ μάλα φιλοκινδύνως ὑπομένω, ἤν ποθέν τι ἐλπίζω λήψεσθαι».

«Ἀλλ᾽ ἄγε δή» ἔφη ὁ Σωκράτης, «σὺ αὖ λέγε ἡμῖν, ὦ Ἀντίσθενες, πῶς οὕτω βραχέα ἔχων μέγα φρονεῖς ἐπὶ πλούτῳ».

«Ὅτι νομίζω, ὦ ἄνδρες, τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν ἔχειν ἀλλ᾽ ἐν ταῖς ψυχαῖς. Ὁρῶ γὰρ πολλοὺς μὲν ἰδιώτας, οἳ πάνυ πολλὰ ἔχοντες χρήματα οὕτω πένεσθαι ἡγοῦνται ὥστε πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ᾽ ᾧ[11] πλείονα κτήσονται, οἶδα δὲ καὶ ἀδελφούς, οἳ τὰ ἴσα λαχόντες ὁ μὲν αὐτῶν τἀρκοῦντα ἔχει καὶ περιττεύοντα τῆς δαπάνης, ὁ δὲ τοῦ παντὸς ἐνδεῖται[12]· αἰσθάνομαι δὲ καὶ τυράννους τινάς, οἳ οὕτω πεινῶσι χρημάτων ὥστε ποιοῦσι πολὺ δεινότερα τῶν ἀπορωτάτων· δι᾽ ἔνδειαν μὲν γάρ δήπου οἱ μὲν κλέπτουσιν, οἱ δὲ τοιχωρυχοῦσιν, οἱ δὲ ἀνδραποδίζονται· τύραννοι δ᾽ εἰσί τινες οἳ ὅλους μὲν οἴκους ἀναιροῦσιν, ἀθρόους δ᾽ ἀποκτείνουσι, πολλάκις δὲ καὶ ὅλας πόλεις χρημάτων ἕνεκα ἐξανδραποδίζονται. Τούτους μὲν οὖν ἔγωγε καὶ πάνυ οἰκτίρω τῆς ἄγαν χαλεπῆς νόσου[13]. Ὅμοια γάρ μοι δοκοῦσι πάσχειν ὥσπερ εἴ τις πολλὰ πίνων καὶ πολλὰ ἐσθίων μηδέποτε ἐμπίμπλαιτο. Ἐγὼ δὲ οὕτω μὲν πολλὰ

---

paga contribuciones y goza de los servicios públicos. — [10] "Sacrificas en honor de los (dioses) que apartan (los males, considerando como una desgracia el ser rico aun en sueños)". — [11] "Con tal de". — [12] Porque el último no se ve satisfecho con nada. — [13] Genitivo de causa. —

ἔχω ὡς μόλις αὐτά καὶ αὐτὸς εὑρίσκω[14]· ὅμως δὲ περίεστί μοι καὶ ἐσθίοντι ἄχρι τοῦ μὴ πεινῆν ἀφικέσθαι καὶ πίνοντι μέχρι τοῦ μὴ διψῆν καὶ ἀμφιέννυσθαι ὥστε ἔξω[15] μὲν μηδὲν μᾶλλον Καλλίου τούτου τοῦ πλουσιωτάτου ῥιγοῦν[16]· ἐπειδάν γε μὴν ἐν τῇ οἰκίᾳ γένωμαι, πάνυ μὲν ἀλεεινοὶ χιτῶνες οἱ τοῖχοί μοι δοκοῦσιν εἶναι, πάνυ δὲ παχεῖαι ἐφεστρίδες οἱ ὄροφοι, στρωμνήν γε μὴν οὕτως ἀρκοῦσαν ἔχω ὥστ' ἔργον μέγ' ἐστὶ καὶ ἀνεγεῖραι[17]».

245.

El amor a los pobres

(*Memorables* II 2)

Αἰσθόμενος δέ ποτε Λαμπροκλέα, τὸν πρεσβύτατον υἱὸν αὐτοῦ, πρὸς τὴν μητέρα χαλεπαίνοντα· «Εἰπέ μοι» ἔφη[1] «ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους;» «Καὶ μάλα» ἔφη ὁ νεανίσκος. «Καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν[2];» «Ἔγωγε[3]» ἔφη· «τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν[2]». «Οὐκοῦν δοκοῦσί[2] σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους;» «Ἔμοιγε» ἔφη. «Ἤδη δέ ποτ' ἐσκέψω, εἰ ἄρα, ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον εἶναι, οὕτω καὶ τὸ ἀχαριστεῖν πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον;» «Καὶ μάλα» ἔφη· «καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις[4] εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι,

---

[14] Irónico: son tan grandes las riquezas de Antístenes, que ni él mismo puede citarlas, pero no porque excedan a toda medida, sino porque, en realidad, no existen. — [15] "En la calle". — [16] Porque está habituado a ir mal vestido, de modo que no siente el frío. — [17] (με).

245. [1] Sócrates. — [2] Impersonal. — [3] "(Sí que lo sé)". — [4] Equivale

ἄδικος εἶναι». «Οὐκοῦν, εἴ γ' οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία;» Συνωμολόγει[5]. «Οὐκοῦν, ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη;» Συνέφη καὶ τοῦτο. «Τίνας οὖν» ἔφη «ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐεργετημένους ἢ παῖδας ὑπὸ γονέων; Οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις, ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν, καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσαντες... φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι, ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. Καὶ ὁ μέν γε ἀνὴρ τήν τε συντεκνοποιήσουσαν ἑαυτῷ τρέφει καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα· ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου καὶ μεταδιδοῦσα τῆς τροφῆς, ᾗ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενεγκοῦσα καὶ τεκοῦσα τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθόν, οὔτε γιγνῶσκον[6] τὸ βρέφος, ὑφ' ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν δυνάμενον[6], ὅτου δεῖται, ἀλλ' αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ κεχαρισμένα πειρᾶται ἐκπληροῦν καὶ τρέφει πολὺν χρόνον καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα εἴ τινα τούτων χάριν ἀπολήψεται. Καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καί, ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς

---

a ὅστις ἂν ὑπό τινος. — [5] Lamprocles. — [6] Nominativo por libertad sintáctica, pues debería ir en genitivo absoluto con valor concesivo. —

ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν· ἃ[7] δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι[8] πρὸς τοῦτον δαπανῶντες καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι». Πρὸς ταῦτα ὁ νεανίσκος ἔφη· «Ἀλλά τοι, εἰ καὶ πάντα ταῦτα πεποίηκε καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα». Καὶ ὁ Σωκράτης «Πότερα δὲ οἴει» ἔφη «θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι ἢ μητρός;» «Ἐγὼ μὲν οἶμαι» ἔφη «τῆς μητρός, τῆς γε τοιαύτης». «Ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τί σοι ἔδωκεν ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον;» «Ἀλλά, νὴ Δία» ἔφη «λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ[9] βούλοιτο ἀκοῦσαι». «Σὺ δὲ πόσα» ἔφη ὁ Σωκράτης «οἴει ταύτῃ[10] καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ νυκτὸς πράγματα παρασχεῖν, πόσα δὲ λυπῆσαι κάμνων;» «Ἀλλ' οὐδεπώποτε αὐτήν» ἔφη «οὔτ' εἶπα οὔτ' ἐποίησα οὐδέν, ἐφ' ᾧ ᾐσχύνθη». «Τί δ'; Οἴει» ἔφη «χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὕτη λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις ἀλλήλους τὰ ἔσχατα λέγωσιν;» «Ἀλλ', οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι». «Σὺ δ' εὖ εἰδὼς ὅτι ἃ λέγει σοι ἡ μήτηρ, οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; Ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι;» «Οὐ δῆτα» ἔφη «τοῦτό γε οὐκ οἴομαι». Καὶ ὁ Σωκράτης· «Οὐκοῦν» ἔφη «σὺ ταύτην εὔνουν τέ σοι οὖσαν καὶ ἐπιμελομένην, ὡς μάλιστα δύναται, κάμνοντος, ὅπως[11] ὑγιάνῃς τε καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς

---

[7] Depende de διδάξαι. — [8] Anacoluto: era de esperar "esto hacen que ese otro se lo enseñe" (se sobrentiende αὐτούς). — [9] "Al precio de la vida entera". — [10] A la madre. — [11] Va con ἐπιμελομένην. —

ἔσῃ, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ καὶ εὐχὰς[12] ἀποδιδοῦσαν χαλεπὴν εἶναι φῄς; Ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην μὴ δύνασαι φέρειν μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν. Εἰπὲ δέ μοι» ἔφη «πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν, ἢ παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι[13] ἀρέσκειν μηδ' ἕπεσθαι[14] μηδὲ πείθεσθαι[14] μήτε στρατηγῷ μήτε ἄλλῳ ἄρχοντι;» «Ναὶ μὰ Δί' ἔγωγε[15]» ἔφη. «Οὐκοῦν» ἔφη ὁ Σωκράτης «καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ[16], καὶ ἀγαθοῦ[17] τέ σοι γίγνηται συλλήπτωρ καί, ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι;» «Ἔγωγε» ἔφη. «Τί δέ; Συνοδοιπόρον ἢ σύμπλουν ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέροι φίλον ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι;» «Ἔγωγε[18]» ἔφη. «Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; Οὐκ οἶσθ', ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας, ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον, ὡς οὔτε ἂν[19] τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν[19] τούτου πράξαντος; Καὶ νὴ Δία ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν

---

12 Promesas hechas pidiendo favores para el hijo. — 13 Es regido por παρεσκεύασαι y rige a ἀρέσκειν. — 14 Depende de παρεσκεύασαι. — 15 La afirmación se refiere al primer término de la disyuntiva. — 16 Segunda persona del singular del subjuntivo medio. — 17 "En (algo) ventajoso". — 18 Afirmación referida al segundo término de la disyuntiva. 19 Da valor condicional irreal a todos estos participios y a un πραττόμενον que hay que suplir tras del segundo ἄν.

ἀρχόντων δοκιμασίαις. Σὺ οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι οὐκ ἐθελήσωσιν εὖ ποιεῖν· τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς· εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι».

246.
La amistad
(II 4)

Ἤκουσα δέ ποτε αὐτοῦ [1] καὶ περὶ φίλων διαλεγομένου, ἐξ ὧν ἔμοιγε ἐδόκει μάλιστ' ἄν τις ὠφελεῖσθαι πρὸς φίλων κτῆσίν τε καὶ χρείαν· τοῦτο μὲν γὰρ δὴ πολλῶν ἔφη ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός, ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη [2] τοὺς πολλοὺς ἢ φίλων κτήσεως. Καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ σκεύη κτωμένους τε ἐπιμελῶς ὁρᾶν ἔφη καὶ τά ὄντα σῴζειν πειρωμένους, φίλον δέ, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη [3] τοὺς πολλοὺς οὔτε ὅπως κτήσωνται [4] φροντίζοντας, οὔτε ὅπως οἱ ὄντες αὐτοῖς σῴζωνται. Ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν ὁρᾶν τινας ἔφη τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας καὶ τἆλλα τὰ πρὸς ὑγίειαν ἐπιμελῶς παρασκευάζοντας, τῶν δὲ φίλων ὀλιγωροῦντας, ἀποθανόντων τε ἀμφοτέρων ἐπὶ μὲν τοῖς οἰκέταις ἀχθομένους τε καὶ ζημίαν ἡγουμένους, ἐπὶ δὲ τοῖς φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι, καὶ τῶν

---

246. [1] Jenofonte a Sócrates. — [2] ἔφη pleonástico. — [3] ὁρᾶν ἔφη pleonástico. — [4] Rige a φίλον. — [5] (τούτους). — [6] "Retractarse con

μὲν ἄλλων κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον οὐδ' ἀνεπίσκεπτον, τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας. Ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων, καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων, τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων, ὀλίγων ὄντων, οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν[5] ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι[6]· τοσοῦτον[7] αὐτοὺς τῶν φίλων φροντίζειν. Καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς οὐκ ἂν πολλῷ κρείττων φανείη; Ποῖος γὰρ ἵππος ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον, ὥσπερ ὁ χρηστὸς φίλος, ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον, ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον; Ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει[8] πρὸς πᾶν τὸ ἐλλεῖπον[9] τῷ φίλῳ καὶ τῆς τῶν ἰδίων κατασκευῆς καὶ τῶν κοινῶν πράξεων[10] καί, ἄν τέ τινα εὖ ποιῆσαι δέῃ, συνεπισχύει, ἄν τέ τις φόβος ταράττῃ, συμβοηθεῖ, τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων, καὶ τὰ μὲν συμπείθων, τὰ δὲ βιαζόμενος[11], καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ πλεῖστα ἐπανορθῶν[12]. Ἃ[13] δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι καὶ οἱ ὀφθαλμοὶ προορῶσι[14] καὶ τὰ ὦτα προακούουσι καὶ οἱ πόδες διανύτουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς[15] λείπεται· πολλάκις ἃ πρὸ[16]

---

respecto a ellos", es decir, no estar seguro de si lo son o no. Era de esperar por paralelismo ἀνατιθεμένους. — [7] "Tan poco". — [8] Como un soldado. — [9] Rige a τῆς κατασκευῆς, que es genitivo de relación. — [10] Depende de τῆς κατασκευῆς. — [11] Haciendo cariñosa fuerza cuando el amigo se muestra terco. — [12] Sintaxis algo laxa: ya no va este final con ἄν... ταράττῃ, sino que se refiere a toda clase de ayudas. — [15] Con τούτων: ἃ es acusativo interno con el primero y cuarto verbo, y externo con los otros dos. — [14] προ- significa "antes (que el amigo)". — [15] Genitivo ablativo dependiente de λείπεται y que rige al partitivo τούτων. —

αὐτοῦ τις ἢ οὐκ ἐξειργάσατο ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκουσεν ἢ οὐ διήνυσε [17], ταῦτα ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν [18]. Ἀλλ᾽ ὅμως ἔνιοι δένδρα μὲν πειρῶνται θεραπεύειν τοῦ καρποῦ ἕνεκεν, τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.

247.

El cuidado del cuerpo

(III 12)

Ἐπιγένην δὲ τῶν ξυνόντων τινά, νέον τε ὄντα καὶ τό σῶμα κακῶς ἔχοντα, ἰδὼν [1] «Ὡς ἰδιωτικῶς [2]» ἔφη «τὸ σῶμα ἔχεις, ὦ Ἐπίγενες». Καὶ ὅς [3] «Ἰδιώτης» ἔφη «εἰμί, ὦ Σώκρατες». «Οὐδέν γε μᾶλλον» ἔφη «τῶν ἐν Ὀλυμπίᾳ μελλόντων ἀγωνίζεσθαι· ἢ δοκεῖ σοι μικρὸς εἶναι ὁ περὶ τῆς ψυχῆς πρὸς τοὺς πολεμίους ἀγών, ὃν Ἀθηναῖοι θήσουσιν, ὅταν τύχωσιν [4]; Καὶ μὴν οὐκ ὀλίγοι μὲν διὰ τὴν τῶν σωμάτων καχεξίαν ἀποθνῄσκουσί τε ἐν τοῖς πολεμικοῖς κινδύνοις καὶ [5] αἰσχρῶς σῴζονται, πολλοὶ δὲ δι᾽ αὐτὸ τοῦτο ζῶντές τε ἁλίσκονται καὶ ἁλόντες ἤτοι δουλεύουσι τὸν λοιπὸν βίον, ἐὰν οὕτω τύχωσι [6], τὴν χαλεπωτάτην δουλείαν, ἢ εἰς τὰς ἀνάγκας τὰς ἀλγεινοτάτας ἐμπεσόντες καὶ ἐκτίσαντες [7] ἐνίοτε πλείω τῶν ὑπαρχόντων αὐτοῖς τὸν λοιπὸν βίον ἐνδεεῖς τῶν ἀναγκαίων ὄντες καὶ κακοπαθοῦντες διαζῶσι, πολλοὶ δὲ δόξαν αἰσχρὰν κτῶνται διὰ τὴν τοῦ σώματος

---

16 “En pro de”. — 17 El verbo significa “llevar a cabo (un viaje, un encargo) con los pies”. — 18 Aoristo gnómico como los anteriores.

247. 1 A Epígenes, Sócrates. — 2 Mal conservado y poco ejercitado como el de quien no es atleta. — 3 Demostrativo. — 4 “Cuando llegue el caso”. — 5 “O”. — 6 “Si llega el caso”. — 7 Para rescatarse. — 8 “(Que

ἀδυναμίαν δοκοῦντες ἀποδειλιᾶν· ἢ καταφρονεῖς τῶν ἐπιτιμίων τῆς καχεξίας τούτων καὶ ῥᾳδίως ἂν οἴει φέρειν τὰ τοιαῦτα; Καὶ μὴν οἶμαί γε πολλῷ ῥᾴω καὶ ἡδίω τούτων εἶναι ἃ δεῖ ὑπομένειν τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας· ἢ ὑγιεινότερόν τε καὶ εἰς τἆλλα χρησιμώτερον νομίζεις εἶναι τὴν καχεξίαν τῆς εὐεξίας; Ἢ τῶν διὰ τὴν εὐεξίαν γιγνομένων καταφρονεῖς; Καὶ μὴν πάντα γε τἀναντία συμβαίνει τοῖς εὖ τὰ σώματα ἔχουσιν ἢ τοῖς κακῶς· καὶ γὰρ ὑγιαίνουσιν οἱ τὰ σώματα εὖ ἔχοντες καὶ ἰσχύουσι, καὶ πολλοὶ μὲν διὰ τοῦτο ἐκ τῶν πολεμικῶν ἀγώνων σῴζονταί τε εὐσχημόνως καὶ τὰ δεινὰ πάντα διαφεύγουσι, πολλοὶ δὲ φίλοις τε βοηθοῦσι καὶ τὴν πατρίδα εὐεργετοῦσι καὶ διὰ ταῦτα χάριτός τε ἀξιοῦνται καὶ δόξαν μεγάλην κτῶνται καὶ τιμῶν καλλίστων τυγχάνουσι καὶ διὰ ταῦτα τόν τε λοιπὸν βίον ἥδιον καὶ κάλλιον διαζῶσι καὶ τοῖς ἑαυτῶν παισὶ καλλίους ἀφορμὰς εἰς τὸν βίον καταλείπουσιν. Οὔτοι χρή, ὅτι ἡ πόλις οὐκ ἀσκεῖ δημοσίᾳ τὰ πρὸς τὸν πόλεμον, διὰ τοῦτο καὶ ἰδίᾳ ἀμελεῖν, ἀλλὰ μηδὲν ἧττον ἐπιμελεῖσθαι[8]· εὖ γὰρ ἴσθι, ὅτι οὐδὲ ἐν ἄλλῳ οὐδενὶ ἀγῶνι οὐδὲ ἐν πράξει οὐδεμιᾷ μεῖον ἕξεις[9] διὰ τὸ βέλτιον τὸ σῶμα παρεσκευάσθαι· πρὸς πάντα γάρ, ὅσα πράττουσιν ἄνθρωποι, χρήσιμον τὸ σῶμά ἐστιν· ἐν πάσαις δὲ ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει ὡς βέλτιστα τὸ σῶμα ἔχειν· ἐπεὶ καὶ ἐν ᾧ δοκεῖ ἐλαχίστη σώματος χρεία εἶναι, ἐν τῷ διανοεῖσθαι, τίς οὐκ οἶδεν, ὅτι καὶ ἐν τούτῳ πολλοὶ μεγάλα σφάλλονται διὰ τὸ μὴ ὑγιαίνειν τὸ σῶμα; Καὶ λήθη δὲ καὶ ἀθυμία καὶ δυσκολία καὶ μανία πολλάκις πολλοῖς διὰ τὴν τοῦ σώματος καχεξίαν εἰς τὴν διάνοιαν ἐμπίπτουσιν οὕτως, ὥστε καὶ τὰς ἐπιστήμας ἐκβάλλειν. Τοῖς δὲ τὰ σώματα εὖ ἔχουσι πολλὴ ἀσφάλεια καὶ οὐδεὶς κίνδυνος διά γε τὴν

---

si se tratara de un deber cívico prescrito oficialmente)". — [9] "Estarás en

τοῦ σώματος καχεξίαν τοιοῦτόν τι παθεῖν, εἰκὸς δὲ μᾶλλον πρὸς τὰ ἐναντία[10] τῶν διὰ τὴν καχεξίαν γιγνομένων τὴν εὐεξίαν χρήσιμον εἶναι· καίτοι τῶν γε τοῖς εἰρημένοις ἐναντίων ἕνεκα[11] τί οὐκ ἄν τις νοῦν ἔχων ὑπομείνειεν; Αἰσχρὸν δὲ καὶ τὸ διὰ τὴν ἀμέλειαν γηρᾶναι, πρὶν[12] ἰδεῖν ἑαυτόν[13], ποῖος ἂν κάλλιστος καὶ κράτιστος[14] τῷ σώματι γένοιτο· ταῦτα δὲ οὐκ ἔστιν ἰδεῖν ἀμελοῦντα· οὐ γὰρ ἐθέλει αὐτόματα γίγνεσθαι».

248.

Varia

(III 13)

Ὀργιζομένου δέ ποτέ τινος, ὅτι προσειπών τινα χαίρειν[1] οὐκ ἀντιπροσερρήθη, «Γελοῖον» ἔφη «τό[2], εἰ μὲν τὸ σῶμα κάκιον ἔχοντι ἀπήντησάς τῳ, μὴ ἂν ὀργίζεσθαι, ὅτι δὲ τὴν ψυχὴν ἀγροικοτέρως διακειμένῳ περιέτυχες, τοῦτό σε λυπεῖ[3]».

Ἄλλου δὲ λέγοντος, ὅτι ἀηδῶς ἐσθίοι, «Ἀκουμενός» ἔφη «τούτου φάρμακον ἀγαθὸν διδάσκει». Ἐρομένου[4] δέ «Ποῖον;», «Παύσασθαι ἐσθίοντα[5]» ἔφη· «καὶ ἥδιόν τε καὶ εὐτελέστερον καὶ ὑγιεινότερον διάξειν[6] παυσάμενον».

---

desventaja". — [10] "En sentido contrario a". — [11] "Con miras a". — [12] Nosotros decimos "sin". — [13] Prolepsis. — [14] "Todo lo hermoso y fuerte que uno...".

248. [1] "Habiendo dicho a uno χαῖρε". El que habla es Sócrates en todas las frases que siguen. — [2] Va con ὀργίζεσθαι. El κάκιον siguiente no es comparativo, sino intensivo. — [3] Era de esperar λυπεῖν. — [4] El otro. — [5] Antes de que llegue el hastío. — [6] (Ἀκουμενός φησι). —

Ἄλλου δ' αὖ λέγοντος, ὅτι θερμὸν εἴη παρ' ἑαυτῷ τὸ ὕδωρ, ὃ πίνοι[7], «Ὅταν ἄρ'» ἔφη «βούλῃ θερμῷ[8] λούσασθαι, ἕτοιμον ἔσται σοι». «Ἀλλὰ ψυχρόν» ἔφη «ἐστὶν ὥστε λούσασθαι». «Ἆρ' οὖν» ἔφη «καὶ οἱ οἰκέται σου ἄχθονται πίνοντές τε αὐτὸ καὶ λουόμενοι αὐτῷ;» «Μὰ τὸν Δί'» ἔφη· «ἀλλὰ καὶ πολλάκις τεθαύμακα, ὡς ἡδέως αὐτῷ πρὸς ἀμφότερα ταῦτα χρῶνται». «Πότερον δὲ» ἔφη «τὸ παρὰ σοὶ ὕδωρ θερμότερον πιεῖν ἐστιν ἢ[9] τὸ ἐν[10] Ἀσκληπιοῦ;» «Τὸ ἐν Ἀσκληπιοῦ» ἔφη. «Πότερον δὲ λούσασθαι ψυχρότερον, τό παρὰ σοὶ ἢ τό ἐν Ἀμφιαράου;» «Τὸ ἐν Ἀμφιαράου» ἔφη. «Ἐνθυμοῦ οὖν» ἔφη «ὅτι κινδυνεύεις δυσαρεστότερος εἶναι τῶν τε οἰκετῶν[11] καὶ τῶν ἀρρωστούντων».

Κολάσαντος δέ τινος ἰσχυρῶς ἀκόλουθον[12] ἤρετο, τί χαλεπαίνοι τῷ θεράποντι. «Ὅτι» ἔφη «ὀψοφαγίστατός τε ὢν βλακότατός ἐστι καὶ φιλαργυρώτατος ὢν ἀργότατος». «Ἤδη[13] ποτὲ οὖν ἐπεσκέψω, πότερος πλειόνων πληγῶν δεῖται, σὺ[14] ἢ ὁ θεράπων;»

Φοβουμένου δέ τινος τὴν εἰς Ὀλυμπίαν ὁδόν, «Τί» ἔφη «φοβῇ τὴν πορείαν; Οὐ καὶ οἴκοι σχεδὸν ὅλην τὴν ἡμέραν περιπατεῖς; Καὶ ἐκεῖσε πορευόμενος, περιπατήσας ἀριστήσεις, περιπατήσας δειπνήσεις καὶ ἀναπαύσῃ· οὐκ οἶσθα, ὅτι, εἰ ἐκτείναις τοὺς περιπάτους οὓς ἐν πέντε ἢ ἓξ ἡμέραις περιπατεῖς, ῥᾳδίως ἂν Ἀθήνηθεν εἰς Ὀλυμπίαν ἀφίκοιο;»...

Ἄλλου δὲ λέγοντος, ὡς παρετάθη μακρὰν ὁδὸν πορευθείς, ἤρετο αὐτόν, εἰ καὶ φορτίον ἔφερε. «Μὰ Δί' οὐκ ἔγωγ'» ἔφη «ἀλλὰ τὸ ἱμάτιον». «Μόνος δ' ἐπορεύου» ἔφη «ἢ καὶ ἀκόλουθός σοι ἠκολούθει;» «Ἠκολούθει» ἔφη.

---

7 Optativo por atracción modal. — 8 (ὕδατι). — 9 "O". — 10 "La (que hay) en (el templo) de". — 11 El amo debe dar ejemplo de virilidad y templanza. — 12 El esclavo encargado de la escolta personal del dueño 13 "Acaso". — 14 Por no haberle educado bien. — 15 (σε). — 16 "O mejor dicho, ni siquiera". — 17 Va con δύνασθαι.

«Πότερον κενός» ἔφη «ἢ φέρων τι;» «Φέρων νὴ Δί'» ἔφη «τά τε στρώματα καὶ τἆλλα σκεύη». «Καὶ πῶς» ἔφη «ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ;» «Ἐμοὶ μὲν δοκεῖ» ἔφη «βέλτιον ἐμοῦ». «Τί οὖν;» ἔφη «εἰ τὸ ἐκείνου φορτίον ἔδει σε φέρειν, πῶς ἂν οἴει [15] διατεθῆναι;» «Κακῶς νὴ Δί'» ἔφη· «μᾶλλον δὲ οὐδ' [16] ἂν ἠδυνήθην κομίσαι». «Τὸ [17] οὖν τοσούτῳ ἧττον τοῦ παιδὸς δύνασθαι πονεῖν πῶς ἠσκημένου δοκεῖ σοι ἀνδρὸς εἶναι;»

HERÓDOTO

Heródoto nació en Halicarnaso, ciudad dórica del SO. del Asia Menor, poco antes del 480, y debió de morir entre el 420 y el 415 a. J. C. Sobrino del poeta épico Paníasis y dotado de una excelente educación literaria, el futuro historiador se propuso desde su juventud poner al día y rectificar las obras de los llamados logógrafos y especialmente del más conocido de ellos, Hecateo de Mileto, que en sus monografías históricas adolecía de falta de sistema y excesiva tolerancia en cuanto a la admisión de elementos fabulosos o novelescos. De acuerdo con los conceptos típicamente jónicos de la ἱστορίη o encuesta y θεωρίη o contemplación personal, Heródoto, infatigable viajero, se dedicó a recorrer la casi totalidad del mundo conocido en su siglo y, con los datos adquiridos en sus viajes, redactó sus *Historias*, que, divididas en nueve libros, han llegado hasta nosotros como una de las obras maestras de la literatura griega.

Las *Historias* (para las que eligió el dialecto jónico, él que era dorio, por seguir el ejemplo de sus predecesores) comenzaron como una serie de tratados independientes dedicados a los diferentes países con estudio de su geografía, historia, usos y costumbres, religión, maravillas más notables, etc.; pero más tarde

se abandonó este esquema, del que tenemos muestras en los dos libros dedicados a Egipto y a los escitas, y el autor fue centrándose cada vez más en las guerras Médicas, hecho cumbre de la Historia universal, y en los dos grandes pueblos, Persia y Grecia, que en ellas tomaron parte. Pero, al mismo tiempo, había prendido con sumo vigor en su espíritu la idea central y matriz, típicamente ateniense, de la tragedia: la relación entre culpa y castigo, soberbia y humillación. Todo el que se ensoberbece (ὕβρις) más de lo debido, sobre la medida (ὑπὲρ μέτρον), y peca con ello contra dioses u hombres, provoca la envidia (φθόνος) divina y atrae sobre su cabeza o la de sus descendientes, más tarde o más temprano, la venganza (ἄτη). Éste es el caso de los persas y, en particular, de Jerjes. Pero, para que el cuadro gane en intensidad y relieve dramático, al rey persa preceden otros dos personajes en su carrera fatal, como en una especie de pequeño preludio de la gran catástrofe. Éstos serán Creso y Polícrates, los tiranos de Lidia y Samos.

A los dos bellísimos episodios hemos agregado el no menos hermoso de Licofrón, premonición trágica de Orestes o Hamlet. Lo recogido es, pues, suficiente para que pueda apreciarse la suave fluidez, llena de grave serenidad, de esta prosa de Heródoto, que, sobre ser el primer cronista de Occidente y padre de la Historia europea, sabe ganarse nuestra simpatía a fuer de narrador ameno, bienintencionado y, si no veraz en todo momento (pues no siempre llegó a las mejores fuentes), constantemente preocupado por transmitir a la posteridad una cabal idea de la grandeza de la Hélade.

Heródoto es autor fácil de traducir una vez que se conocen las características o divergencias, con respecto al ático, de su dialecto jónico, las principales de las cuales son:

1. Variaciones de vocalismo como α en vez de ε (τάμνοντες) o de υ (ἐκαλινδέετο); ε por α (τεσσερεσκαίδεκα, τεσσερεσκαιδεκάτη) o por ει (κρέσσον, μέζονας, ἐπιτήδεον; ἀποδέξω, ὑποδέξας); ει por ε (ξεῖνε, ἐξεινίζετο, ξεινίην; ἐπειρωτᾷς, εἰρωτώμενον; εἵνεκεν = ἕνεκα); ι por ε (ἐπίστιον = ἐφέστιον) o por ιε (ἱρόν); οι por ο (στοιῇσι = στοαῖς); ου por ο (μοῦνον, ἄνουσος, οὔνομα; οὖρον = ὅρον); υ por ι (βυβλίον); ω por αυ (ἀπεθώμαζε, ἀποθωμάσας), etc.

2. Conservación de η después de ρ, ι, ε, mientras que el ático la ha convertido en α larga, como en χώρη, ἐπιθυμίην, θεωρίης, δημοσίῃ; νεηνίας, ἰητρόν; Ἄδρηστος, Συρηκοσίων, Θρήικες; τριήκοντα, διηκοσίας; πειρησαμένης; ἔπρηξα, πρῆγμα; etc. (cf. también ἠέρι).

3. Hiato en lugares en que el ático contrae, como en los encuentros de αε (ἀεθλοφόροι, ἀέκων), αο (ἐξεργάσαο = ἐξειργάσω, προσεκτήσαο), εα (θεοσεβέα, νείκεα, ἄστεα; ἡμέας), εε (ἐπενόεε, ἐπιδέεται, ναυπηγέεσθαι, ἀπολέεσθαι), εο (χάλκεον = χαλκοῦν, ὄρεος; σέο; συνωνέονται, εἴρεο, ἐγένεο), οε (προετίμησα = προυτίμησα), οο (νόον), εω (θυρέων, ἀνδρεῶνι; ὑμέων; ποιέω, φιλοσοφέων, ἀγγελέων, χρέωνται, ἐστεῶτι, φανέωσι), εῃ (διατελέῃ), εῳ (χαλκέῳ; ὅτεῳ), εαι (φαίνεαι), εει (ζητέεις, πλουτέειν, ἀπολέει), εοι (ἀπικνέοιτο = ἀφικνοῖτο), οῳ (νόῳ), ηι (χρηίζω, ἀποκληίσας, ἐκκληιόμενοι), ωι (πατρώια, μητρώια), etc.

4. Paso de ο a υ, sin contracción, en πλεῦν, πλεῦνος; φωνεῦντος, βούλευ, εἷλευ, ποιεύμενος, διανοεύμενον; ἐμεῦ, σεῦ, σευ, ὅτευ, etc.; íd. de α a ε en ὀρέων; resolución de las formas reflexivas en ωυ frente al át. αυ (ἐμεωυτοῦ, σεωυτοῦ, ἑωυτόν, ἑωυτῇ); abreviaciones de las primeras vocales de los grupos ηο (βασιλέος = βασιλέως) y ηη (θεησάμενον = θεαςάμενον); aparición de una mal explicada ω frente a ου en ὦν, γῶν; hiféresis o caída de la ε ante un no contraído εαι (φοβέαι, ἀπολαμπρυνέαι) o εο (ἀκέο); íd. ante ο (ὁρτῆς); íd. tal vez ante οι (οἰκότα); contracción de οη en ω (ἐννώσαντα, βεβωμένα, ἐπιβώσασθαι, ἀλλογνώσας), etc.

5. Aparentemente metátesis en ἐνθαῦτα = ἐνταῦθα y ἐνθεῦτεν = ἐντεῦθεν.

6. Resolución de labiovelar primitiva en κ, y no en π, a lo largo de la serie de interrogativos e indefinidos κως, ὅκως, κου, κω, κῃ, κοτε, κόθεν, ὁκόθεν, κότερα, ὁκοτέρῃ, κοῖος, etc.

7. Psilosis o aparición de sorda por aspirada en grupos sintácticos como ἀπ' ἧς y en formas verbales del tipo de ἀπικνέονται, ἀπῖκται,

ἀπῆκε, ἀπηγέεσθαι, ἀπηγέετο (y sustantivo ἀπηγήσιος = ἀφηγήσεως), ἐπορᾶν, ἐπώρα, κατήμενον, κατεῖσε, καταιρεθεῖσα, μετείς, ὑπείς, etcétera.

8. Crasis notables como τοὔτερον (en lugar de θἄτερον), οὕτερος (ὁ ἕτερος), τὠπό (τὸ ἀπό), ὦλλοι (οἱ ἄλλοι), ὤνθρωπε (ὦ ἄνθρωπε), etcétera.

9. Desaparición de la γ, con alargamiento de la vocal anterior, en γίνεται, ἐπιγινομένου, συνεγινώσκετο, συγγινωσκόμενος, etc.

10. Conservación, sin paso a ττ, del grupo σσ en ἐλάσσονες, φυλάσσοντος, θαλασσοκρατέειν, etc.

11. Nom. y ac. sing. de la 1.ª decl. en -η procedente de α larga frente a equivalentes áticos en breve (ἀληθείην).

12. Gen. sing. masc. en -εω (νεηνίεω, Γύγεω, Καμβύσεω, Κυαξάρεω, Γορδίεω).

13. Ac. sing. masc. declinado como de la 3.ª por analogía (Μιτροβάτεα).

14. Gen. pl. en -εων fem. (ἡμερέων, θυρέων) y masc. (νεηνιέων, Περσέων). Se exceptúa el artículo τῶν.

15. Dat. pl. en -ῃοι fem. (τῇσι, πήδῃσι, πάθῃσι, ἀσιτίῃσι, στοιῇσι) y masc. (ὁπλίτῃσι, πολιήτῃσι, νεηνίῃσι, νησιώτῃσι).

16. Declinación no contracta de κυνέην, σιδηρέῃ. Cf. igualmente διπλή en vez de διπλῆ.

17. En un oráculo, forma eólica de gen. sing. de la 2.ª en -οιο (κραταιρίνοιο).

18. Dat. pl. en -οισι (τοῖσι, ἵπποισι, Ἐφεσίοισι, ἑκάστοισι, πρώτοισι, ἄλλοισι).

19. Ausencia de la flexión contracta (χάλκεον, νόον, etc.).

20. Íd. de la declinación ática (νηοῦ), salvo en el onom. ac. Ἀμφιάρεων, gen. Ἀμφιάρεω.

21. En un oráculo, forma poética del dat. pl. de la 3.ª κρέεσσιν = κρέασι.

22. Hiatos en la flexión de los adjetivos en -ής: ac. sing. masculino y femenino εὐτυχέα, εὐπετέα, θεοσεβέα; gen. εὐτυχέος; nom. plural masculino y femenino εὐτυχέες; nom. ac. n. pl. ἀληθέα, ἐπιτελέα. Igualmente en los onomásticos: Πολυκράτεα, Δημοκήδεα; Πολυκράτεος,

Αἰάκεος; y el dat. Πολυκράτεϊ (en los en -κλέης, nom. Προκλέης; ac. Προκλέα; gen. Τηλεκλέος). Nótese oscilación en ac. 'Οροίτεα (de la 3.ª) y genitivo 'Οροίτεω (de la 1.ª).

23. Más hiatos en los neutros en -ος: γένεος, ὄρεος, πένθεος, τείχεος, ἔπεος; πένθεϊ, μέρεϊ; χείλεα, ἔτεα, ἔπεα, νέφεα, νείκεα; gen. pl. ἐτέων.

24. Temas en -ι con la flexión regularizada: gen. sing. πόλιος, ἀκροπόλιος, ἀνακρίσιος, ἀπηγήσιος; dat. 'Αμάσι, δηλῆσι, ἀχάρι; nom. pl. Σάρδιες; ac. Σάρδις; gen. Σαρδίων, μαντίων.

25. Hiato en el ac. pl. n. ἄστεα, de ἄστυ.

26. Nótese el ac. pl. νέας, de ναῦς.

27. Vocalismo diferente del ático en los temas en -εύς: gen. singular βασιλέος, nom. pl. Δωριέες.

28. El gen. sing. de Μίνως es Μίνω.

29. Pronombre personal de 1.ª con gen. sing. ἐμεῦ y ac. pl. ἡμέας.

30. Íd. de 2.ª con gen. sing. σεῦ, σευ, σέο; dat. sing. τοι; gen. plural ὑμέων.

31. Íd. de 3.ª ac. sing. masc. fem. μιν; dat. sing. masc. fem. οἱ; gen. pl. masc. fem. σφεων; dat. pl. masc. fem. σφι; ac. pl. n. σφεα.

32. Pronombre reflexivo directo de 1.ª persona, ac. sing. masculino ἐμεωυτόν, gen. ἐμεωυτοῦ. De 2.ª, gen. sing. masc. σεωυτοῦ. De 3.ª, ac. sing. masc. ἑωυτόν, gen. ἑωυτοῦ, dat. ἑωυτῷ, dat. sing. femenino ἑωυτῇ; dat. pl. masc. σφίσι αὐτοῖσι.

33. Como reflexivo indirecto ejercen las citadas formas μιν, οἱ, σφι y el dat. pl. σφίσι.

34. El pronombre demostrativo, transformado generalmente en artículo por el dialecto ático, se utiliza con enorme frecuencia como relativo: χρήσεσθαι νόμοισι τοὺς ἄν σφι Σόλων θῆται, "servirse de las leyes que Solón les promulgase"; ἐκείνου... τοῦ ἔπεος τό σφι ὁ Προκλέης... εἶπε... οὐκ ἐμέμνητο, "no se acordaba de aquella frase que les había dicho Procles"; etc.

35. Interrogativo dat. pl. τέοισι; interrogativo-relativo dat. singular ὅτεῳ; indefinido gen. sing. τευ, ὅτευ δή y dat. sing. ὅτεῳ δή.

36. Dat. del numeral δυοῖσι.

37. Uso de ἐς, y no εἰς, como preposición. Igualmente ἐσ- en compuestos (ἐσῆλθον, ἐπεσέρχεται).

38. Uso adverbial de πάρα con sentido parecido al de πάρεστι.

39. Adverbios de modo en -έως frente al át. -ῶς (προσφυέως, ἐπιστρεφέως, ἀσφαλέως, εὐτυχέως, σαφηνέως).

40. La forma αἰ suple al át. εἰ en αἰ γάρ, "ojalá".

41. Desinencia no contracta de 2.ª sing. pres. ind. med. (διακελεύεαι, φαίνεαι, βούλεαι). En presentes contractos (φοβέαι) y futuros líquidos (ἀπολαμπρυνέαι), hiféresis.

42. Desinencia de 2.ª pers. sing. imperf. med. no contracta (εἴρεο). Íd. de aor. no contracta (προσεκτήσαο, ἐξεργάσαο, ἐγένεο), o con paso de ο a υ (εἶλευ). Íd. de imper. pres. no contracta con hiféresis (ἀκέο) o con el referido paso (βούλευ).

43. Desinencia de 3.ª pers. pl. plusc. pas. de un verbo en oclusiva con vocalización de la ν (κατεστράφατο).

44. Formas no áticas del verbo εἰμί: inf. pres. ἔμμεναι (eolismo en un texto poético); 2.ª pers. sing. pres. ind. εἶς; part. pres. ἐών, ἐνεοῦσαν, παρεούσης.

45. Imperf. de εἶμι con formas no áticas de 1.ª sing. (ἤια), 3.ª singular (ἤιε), 3.ª pl. (ἤισαν).

46. Nótense, de φημί, las formas de 2.ª sing. pres. ind. φῄς y participio pres. med. φαμένου.

47. Formas no contractas de verbos contractos en ático: ποιέω, ζητέεις, διατελέῃ, πλουτέειν, φιλοσοφέων, ἐπενόεε; ἐπιδέεται, ἀπικνέονται, συνωνέονται, ἀπικνέοιτο, ἀπηγέεσθαι, ναυπηγέεσθαι, ἀπηγέετο. Con paso de ο a υ, φωνεῦντος, ποιεύμενος, διανοεύμενον.

48. Paso de α a ε en la forma no contracta ὁρέων.

49. Vocalismo no ático en χρᾶσθαι frente a χρῆσθαι.

50. Desinencia no ática en προτιθεῖσι frente a προτιθέασι.

51. Imperfectos iterativos sin aumento de tipo homérico διαφθείρεσκε, ποιέεσκον.

52. Futuros líquidos no contractos κερδανέεις, ἀπολέει, ἀγγελέων, ἀποκτενέων, ἀπολέεσθαι; hiféresis en ἀπολαμπρυνέαι.

53. Futuro "ático" καταγιεῖν.

54. Aoristos no sigmáticos con α en εἶπας y συνήνεικε, ἐνεῖκαι, περιενείκας, ἀνενεικάμενον.

55. Extensión de la κ al plural en los aoristos ἐπεθήκατο y συνεθήκατο.

56. Reduplicaciones distintas de las del ático en los perfectos ἐωθότα; οἰκότα; οἰκημένῃ, οἰκημένων.

57. Desinencia no ática de 3.ª sing. plusc. act. en ἐπεποιήκεε, ἐπεπόμφεε, παρηβήκεε, παρημελήκεε, ᾔδεε.

58. Pluscuamperfecto sin aumento ni reduplicación ἐξευρήκεε; y sin aumento, ἀναβεβήκεε.

59. Pluscuamperfectos con reduplicación distinta del ático en ἀραιρήκεε (de αἱρέω) y ἡλώκεσαν (de ἁλίσκομαι).

60. Subjuntivos de aoristo pasivo no contractos φανέωσι, ὁρμηθέωσι.

61. Aumentos distintos del ático en ὥρα (de ὁράω) y ἥλωσαν (de ἁλίσκομαι).

62. Formas sin aumento en ἐξεργασάμην, ἐξεργάσαο; ἀμείβετο, ἀμείψατο; οἴκτιρε; οἴχοντο; εὕρισκε, εὑρέθη; προσεύχετο.

63. Formas con προ- nunca contractas en προετρέψατο, προεσήμαινε, προεχώρεε.

64. Infinitivo medio λοῦσθαι, de λούω.

249.

Solón y Creso
(I 26-33)

Τελευτήσαντος δὲ Ἀλυάττεω ἐξεδέξατο τὴν βασιληίην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα, ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι. Ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεόμενοι ὑπ' αὐτοῦ ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος [1]. Ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ ἑπτὰ στάδιοι. Πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος, μετὰ [2] δὲ ἐν μέρεϊ ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν [3] μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτῶν [4] καὶ φλαῦρα ἐπιφέρων. Ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο ἐς φόρου ἀπαγωγήν [5], τὸ ἐνθεῦτεν [6] ἐπενόεε νέας ποιησάμενος ἐπιχειρέειν τοῖσι νησιώτῃσι. Ἐόντων δέ οἱ [7] πάντων [8] ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον

---

249. [1] De esta manera quedaba ligada simbólicamente la ciudad al templo de la diosa. — [2] Adverbial. — [3] El antecedente, elíptico, debería ir en dativo y depender de ἐπαιτιώμενος. — [4] "Y a otros de entre ellos". — [5] Es decir, quedaron convertidos en tributarios. — [6] "A partir de entonces". — [7] Ético. — [8] Neutro. — [9] En realidad, Pítaco había

ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μυτιληναῖον[9], εἰρομένου Κροίσου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε καταπαῦσαι τὴν ναυπηγίην· «Ὦ βασιλεῦ, νησιῶται ἵππον[10] συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἐν νόῳ ἔχοντες στρατεύεσθαι». Κροῖσον δέ, ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἰπεῖν[11]· «Αἲ γὰρ τοῦτο[12] θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας[13] σὺν ἵπποισι». Τὸν δὲ ὑπολαβόντα φάναι[11]· «Ὦ βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας[14] ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ, οἰκότα ἐλπίζων. Νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο ἤ, ἐπείτε τάχιστα[15] ἐπύθοντό σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν ἀρώμενοι[16] Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τείσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις[17];» Κάρτα τε ἡσθῆναι[11] Κροῖσον τῷ ἐπιλόγῳ καί οἱ[18], προσφυέως γὰρ δόξαι[19] λέγειν,· πειθόμενον παύσασθαι τῆς ναυπηγίης. Καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι ξεινίην συνεθήκατο.

Χρόνου δὲ ἐπιγινομένου καὶ κατεστραμμένων σχεδὸν πάντων τῶν ἐντὸς[20] Ἅλυος ποταμοῦ οἰκημένων... καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι[21], ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτῶν ἀπικνέοιτο[22], καὶ δὴ καὶ Σόλων ἀνὴρ Ἀθη-

---

muerto ya cuando Creso ascendió al trono. — [10] "Caballería". — [11] Depende todavía de λέγουσι. — [12] Anticipación de la oración de infinitivo. — [13] Expresión poética en vez de Λυδούς: los lidios eran excelentes jinetes. — [14] Complemento directo de λαβεῖν. — [15] "En cuanto". — [16] Expletivo: su idea va ya contenida en εὔχεσθαι. — [17] Perífrasis como nuestro "tienes sometidos". — [18] A su interlocutor. — [19] Estilo indirecto a través de γάρ: "porque (le) pareció (a Creso) que (él)...". — [20] "A la parte de acá". — [21] "Y cuando Creso estaba uniendo (estos pueblos) a los lidios". — [22] "Fueron llegando, cada uno por su parte,

ναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης[23] πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν[24] ἔθετο. Αὐτοὶ[25] γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφι Σόλων θῆται[23]. Αὐτῶν δὴ ὦν τούτων[26] καὶ τῆς θεωρίης[26] ἐκδημήσας ὁ Σόλων εἵνεκεν ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον[27]. Ἀπικόμενος δὲ ἐξεινίζετο ἐν τοῖσι βασιληίοισι ὑπὸ τοῦ Κροίσου. Μετὰ[2] δέ, ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. Θεησάμενον δέ μιν[28] τὰ πάντα καὶ σκεψάμενον, ὥς οἱ κατὰ καιρὸν ἦν[29], εἴρετο ὁ Κροῖσος τάδε· «Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων[30] γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυθας. Νῦν ὦν ἵμερος[31] ἐπειρέσθαι μοι ἐπῆλθε σὲ εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον[32]». Ὁ μὲν ἐλπίζων εἶναι[33] ἀνθρώπων ὀλβιώτατος ταῦτα ἐπειρώτα, Σόλων δὲ οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος λέγει· «Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον». Ἀποθωμάσας δὲ Κροῖσος τό λεχθὲν εἴρετο ἐπιστρεφέως·

---

todos los..." (ἐκ se debe a la idea de movimiento que hay en ἀπικνέονται; éste es presente histórico, lo cual explica el optativo oblicuo siguiente; la palabra σοφιστής no tiene el sentido despectivo que más tarde adquirió). — 23 Véase la introducción. — 24 Genitivo en vez de acusativo por atracción: tradúzcase el verbo siguiente como pluscuamperfecto. — 25 "Solos". — 26 Depende de εἵνεκεν. — 27 Solón no pudo conocer a Creso en el trono ni apenas a Amasis, pues debió de morir el 560 a. J. C. — 28 Solón. — 29 "Cuando se ofreció una oportunidad (a Creso)". — 30 En sentido etimológico: "por amor al saber". — 31 "(De)". — 32 "Si has visto a alguna persona (que sea)...". — 33 "(Él)".

«Κοίη δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;» Ὁ δὲ εἶπε· «Τέλλῳ[34] τοῦτο μὲν[35] τῆς πόλιος εὖ ἡκούσης[36] παῖδες ἦσαν καλοί τε κἀγαθοί, καί σφι[7] εἶδε ἅπασι τέκνα ἐκγενόμενα καὶ πάντα παραμείναντα[37]· τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι[38], ὡς τὰ παρ' ἡμῖν[39], τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο· γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι βοηθήσας καὶ τροπὴν[40] ποιήσας τῶν πολεμίων ἀπέθανε κάλλιστα, καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇ περ ἔπεσε[41] καὶ ἐτίμησαν μεγάλως».

Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον[42] προετρέψατο ὁ Σόλων τὸν Κροῖσον εἴπας πολλά τε καὶ ὄλβια, ἐπειρώτα τίνα δεύτερον[43] μετ' ἐκεῖνον ἴδοι[44], δοκέων πάγχυ δευτερεῖα[33] γῶν οἴσεσθαι. Ὁ δὲ εἶπε· «Κλέοβίν τε καὶ Βίτωνα. Τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν καὶ πρὸς τούτῳ ῥώμη σώματος τοιήδε. Ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἦσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος· ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι ἔδεε πάντως τὴν μητέρα αὐτῶν[45] ζεύγεϊ κομισθῆναι ἐς τὸ ἱρόν, οἱ δέ σφι[34] βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ. Ἐκκληιόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην εἷλκον τὴν ἅμαξαν, ἐπὶ τῆς ἁμάξης δέ σφι[34] ὠχέετο ἡ μήτηρ, σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες ἀπίκοντο ἐς τὸ ἱρόν. Ταῦτα δέ σφι ποιήσασι καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο, διέδεξέ τε ἐν τούτοισι

---

34 Posesivo. — 35 "En primer lugar". — 36 Genitivo absoluto. — 37 Completiva participial. — 38 "Y en segundo lugar, (a él) que estaba bien de recursos". — 39 Dentro de la modestia griega frente al lujo asiático. — 40 "(Conmemorativo de la retirada)". — 41 "Allí donde había caído": honor rara vez concedido por los atenienses. — 42 Acusativo de relación: "con respecto a lo tocante a Telo". — 43 Predicativo. — 44 "(En cuanto a felicidad)". — 45 Que era sacerdotisa de Hera y tenía que ser llevada

ὁ θεὸς ὡς ἄμεινον εἴη[46] ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε[47]. Ἡ δὲ μήτηρ περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος εὔχετο Κλεόβι τε καὶ Βίτωνι τοῖσι ἑωυτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν[48] μεγάλως, τὴν θεὸν[49] δοῦναι τό ἀνθρώπῳ τυχεῖν[50] ἄριστόν ἐστι. Μετά ταύτην δὲ τὴν εὐχὴν ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τέλεϊ τούτῳ ἔσχοντο. Ἀργεῖοι δὲ σφεων εἰκόνας ποιησάμενοι ἀνέθεσαν ἐς Δελφοὺς ὡς ἀνδρῶν ἀρίστων γενομένων».

Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι, Κροῖσος δὲ σπερχθεὶς εἶπε· «Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δ' ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδέν, ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας;» Ὁ δὲ εἶπε· *«Ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν*[37] *φθονερὸν* τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι. Ἐν γάρ τῷ μακρῷ χρόνῳ πολλά μὲν ἔστι ἰδεῖν τά μή τις ἐθέλει, πολλά δὲ καὶ παθεῖν. Ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι... Τουτέων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τά ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσιέων καὶ ἑξακισχιλιέων καὶ δισμυριέων[51], ἡ ἑτέρη αὐτέων[52] τῇ ἑτέρῃ ἡμέρῃ τό παράπαν οὐδὲν ὅμοιον προσάγει πρῆγμα. Οὕτω ὦν, ὦ Κροῖσε, πᾶν ἐστι ἄνθρωπος

desde la ciudad al templo. — [46] Oblicuo. — [47] Exclamativo. — [48] Con valor de pluscuamperfecto. — [49] Hera. — [50] Lit. "(aquello) que es mejor de obtener para el hombre". — [51] Se atribuía a Solón una reforma del calendario, lo cual explica que Heródoto ponga en su boca estos cálculos, imperfectos por lo demás, pues los 26.250 días resultan de suponer setenta años de 360 (25.200) y agregar cada dos años un mes intercalar de 30 (35 × 30 = 1.050). — [52] Repetición innecesaria de los genitivos anterio-

συμφορή. Ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μέγα φαίνεαι καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἴρεό με οὔ κώ σε ἐγὼ λέγω, πρὶν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι[37]. Οὐ γάρ τι ὁ μέγα πλούσιος μᾶλλον[53] τοῦ ἐπ' ἡμέρην ἔχοντος[54] ὀλβιώτερός ἐστι, εἰ μή οἱ τύχη ἐπίσποιτο[55] πάντα καλὰ ἔχοντα εὖ τελευτῆσαι[56] τὸν βίον. Πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων ἄνολβοί εἰσι, πολλοὶ δὲ μετρίως ἔχοντες βίου[57] εὐτυχέες[58]. Ὁ μὲν δὴ μέγα πλούσιος, ἄνολβος δέ, δυοῖσι προέχει τοῦ εὐτυχέος μοῦνον, οὗτος δὲ τοῦ πλουσίου καὶ ἀνόλβου πολλοῖσι· ὁ μὲν ἐπιθυμίην ἐκτελέσαι καὶ ἄτην μεγάλην προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος, ὁ δὲ τοῖσδε προέχει ἐκείνου· ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως[59] δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα[60] δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει, ἄπηρος δέ ἐστι, ἄνουσος, ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής. Εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος τὸν σὺ ζητέεις· ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι. Πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχεῖν[61] μηδὲ καλέειν[61] κω ὄλβιον[62], ἀλλ' εὐτυχέα. Τὰ πάντα μέν νυν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστι, ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα[63], ἀλλὰ[64] ἄλλο μὲν ἔχει, ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, αὕτη

---

res. — 53 Expletivo. — 54 "Que el que vive al día". — 55 En prosa ática se esperaría subjuntivo iterativo con ἄν. — 56 Consecutivo. — 57 "En cuanto a recursos". — 58 Hasta aquí insiste en que un rico puede terminar por ser desdichado y un pobre puede no dejar nunca de ser feliz; y a continuación dice que el rico infortunado no tiene sobre el pobre dichoso más que dos ventajas, el poder realizar mejor sus deseos y protegerse de una manera relativamente más eficaz contra la calamidad. — 59 Lítotes: en vez de "menos". — 60 Es decir, concretamente estos males contra los que, de acometerle, se hallaría más indefenso. — 61 Con valor imperativo. — 62 Al rico al que, de momento, le van las cosas bien. — 63 Participio que completa la idea verbal: "se basta para proporcio-

ἀρίστη. Ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν[65] αὔταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστι. Ὃς δ' ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐστι[66] φέρεσθαι. Σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν[67] κῇ ἀποβήσεται. Πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε[68]». Ταῦτα λέγων τῷ Κροίσῳ οὔ κως οὔτε ἐχαρίζετο, οὔτε λόγου μιν ποιησάμενος οὐδενός[69]· ἀποπέμπεται[70] κάρτα δόξας ἀμαθὴς εἶναι ὃς τὰ παρεόντα ἀγαθὰ μετεὶς τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

250.

Los hijos de Creso

(I 34-45)

Μετὰ δὲ Σόλωνα οἰχόμενον[1] ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, ὡς εἰκάσαι[2], ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον[3]. Αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ τὴν ἀληθείην ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. Ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες, τῶν οὕτερος μὲν διέφθαρτο, ἦν γὰρ δὴ κωφός, ὁ δὲ ἕτερος τῶν ἡλίκων μακρῷ τὰ πάντα[4] πρῶτος· οὔνομα δέ οἱ ἦν

nar". — 64 "(Cada país)". — 65 "En ningún aspecto". — 66 Construcción personal. — 67 Prolepsis. — 68 Gnómico. — 69 "No agradó a Creso en modo alguno ni al decir esto ni al no juzgarle digno de ninguna consideración". — 70 Pasiva en asíndeton.

250. 1 En vez de un abstracto, como en lat. *ab urbe condita* o *dolor Siciliae amissae*. — 2 "Según es de suponer". — 3 En prosa ática normalmente se omitiría ἑαυτόν y este predicado iría en nominativo. — 4 Genitivo partitivo, dativo de medida, acusativo de relación y omisión de có-

Ἄτυς. Τοῦτον δὴ ὦν τὸν Ἄτυν [5] σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα. Ὁ δὲ ἐπείτε ἐξηγέρθη καὶ ἑωυτῷ λόγον ἔδωκε, καταρρωδήσας τὸν ὄνειρον ἄγεται μὲν τῷ παιδὶ γυναῖκα, ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν [6] οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε, ἀκόντια δὲ καὶ δόρατα καὶ τὰ τοιαῦτα πάντα τοῖσι χρέωνται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας ἐς τοὺς θαλάμους συνένησε, μή τί οἱ [7] κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ. Ἔχοντος δὲ οἱ [7] ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ ἐχόμενος καὶ οὐ καθαρὸς χεῖρας [8], ἐὼν Φρὺξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασιληίου. Παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου οἰκία κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο ἐπικυρῆσαι [9], Κροῖσος δέ μιν ἐκάθηρε (ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι). Ἐπείτε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο, ὁκόθεν τε καὶ τίς [10] εἴη, λέγων τάδε· «Ὤνθρωπε, τίς τε ἐὼν καὶ κόθεν τῆς Φρυγίης ἥκων ἐπίστιός μοι ἐγένεο; Τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;» Ὁ δὲ ἀμείβετο· «Ὦ βασιλεῦ, Γορδίεω μὲν τοῦ Μίδεώ εἰμι παῖς, ὀνομάζομαι δὲ Ἄδρηστος, φονεύσας δὲ ἀδελφεὸν ἐμεωυτοῦ ἀέκων πάρειμι ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς καὶ ἐστερημένος πάντων». Κροῖσος δέ μιν ἀμείβετο τοῖσδε· «Ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ἐὼν [11] καὶ ἐλήλυθας ἐς φίλους, ἔνθα

---

pula. — [5] Prolepsis. — [6] Genitivo con verbo de "mandar". — [7] Ético: se refiere a Creso. — [8] Acusativo de relación. — [9] "Obtener un purificador" (genitivo con verbo de sentido afín al de τυγχάνω). La muerte de un hombre, aunque sea involuntaria, hace que el causante quede impuro y necesite someterse a una ceremonia especial de purificación. — [10] Obsérvese cómo alternan el interrogativo directo y el indirecto. — [11] "Se da la circunstancia de que eres" (τυγχάνω con participio que completa

ἀμηχανήσεις χρήματος οὐδενὸς μένων ἐν ἡμετέρου [12]. Συμφορὴν δὲ ταύτην ὡς κουφότατα φέρων κερδανέεις πλεῖστον».

Ὁ μὲν δὴ δίαιταν εἶχε ἐν Κροίσου, ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ ἐν τῷ Μυσίῳ Ὀλύμπῳ ὑὸς χρῆμα γίνεται μέγα [13]. Ὁρμώμενος δὲ οὗτος ἐκ τοῦ ὄρεος τούτου τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε, πολλάκις δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες ποιέεσκον μὲν κακὸν οὐδέν, ἔπασχον δὲ πρὸς αὐτοῦ. Τέλος [14] δὲ ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι ἔλεγον τάδε· «Ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφθείρει. Τοῦτον προθυμεόμενοι ἑλεῖν οὐ δυνάμεθα. Νῦν ὦν προσδεόμεθά σευ τὸν παῖδα καὶ λογάδας νεηνίας καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς ἄν μιν ἐξέλωμεν ἐκ τῆς χώρης». Οἱ μὲν δὴ τούτων ἐδέοντο, Κροῖσος δὲ μνημονεύων τοῦ ὀνείρου τὰ ἔπεα ἔλεγέ σφι τάδε· «Παιδὸς μὲν πέρι τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμψαιμι [15]· νεόγαμός τε γάρ ἐστι καὶ ταῦτά [16] οἱ νῦν μέλει. Λυδῶν μέντοι λογάδας καὶ τὸ κυνηγέσιον πᾶν συμπέμψω καὶ διακελεύσομαι τοῖσι ἰοῦσι εἶναι ὡς προθυμοτάτοισι [17] συνεξελεῖν [18] ὑμῖν τὸ θηρίον ἐκ τῆς χώρης». Ταῦτα ἀμείψατο. Ἀποχρεωμένων δὲ τούτοισι τῶν Μυσῶν ἐπεσέρχεται ὁ τοῦ Κροίσου παῖς ἀκηκοὼς [19] τῶν ἐδέοντο οἱ Μυσοί. Οὐ φαμένου [20] δὲ τοῦ Κροίσου τόν γε παῖδά σφι συμπέμψειν λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε·

---

la idea verbal). — 12 Cruce psicológico entre ἐν ἡμετέρῳ (οἴκῳ) y ἐν ἡμῶν (οἴκῳ), que sería (cf. a continuación ἐν Κροίσου) un uso parecido a ἐν Ἅιδου, etc. — 13 Expresión popular, literalmente "una gran cosa de jabalí". — 14 Adverbial. — 15 Potencial como negación cortés. — 16 Su "luna de miel". — 17 En vez de acusativo por atracción del dativo anterior. — 18 Infinitivo con adjetivos que significan "apto, dispuesto a", etc. — 19 Falta el antecedente. — 20 "Como se negara" (genitivo ab-

«Ὦ πάτερ, τὰ κάλλιστα πρότερόν κοτε καὶ γενναιότατα[21] ἡμῖν[22] ἦν ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντας[22] εὐδοκιμέειν. Νῦν δὲ ἀμφοτέρων με τούτων ἀποκληΐσας ἔχεις[23], οὔτε τινὰ δειλίην μοι παριδὼν[24] οὔτε ἀθυμίην. Νῦν τε τέοισί με χρὴ ὄμμασι[25] ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι; Κοῖος μέν τις τοῖσι πολιήτῃσι δόξω εἶναι, κοῖος δέ τις τῇ νεογάμῳ γυναικί; Κοίῳ δὲ ἐκείνη δόξει ἀνδρὶ συνοικέειν; Ἐμὲ ὦν σὺ ἢ μέθες ἰέναι ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον ὅκως[26] μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω ποιεόμενα». Ἀμείβεται Κροῖσος τοῖσδε· «Ὦ παῖ, οὔτε δειλίην οὔτε ἄλλο οὐδὲν ἄχαρι παριδών τοι ποιέω ταῦτα, ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπιστᾶσα ἔφη σε ὀλιγοχρόνιον ἔσεσθαι, ὑπὸ γὰρ αἰχμῆς σιδηρέης ἀπολέεσθαι[27]. Πρὸς ὦν τὴν ὄψιν ταύτην τόν τε γάμον τοι τοῦτον ἔσπευσα καὶ ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω, φυλακὴν ἔχων, εἴ κως δυναίμην ἐπὶ τῆς ἐμῆς γε ζόης[28] διακλέψαι[29]. Εἷς γάρ μοι μοῦνος τυγχάνεις[30] ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον διεφθαρμένον τὴν ἀκοὴν[8] οὐκ εἶναί[31] μοι λογίζομαι». Ἀμείβεται ὁ νεηνίης τοῖσδε· «Συγγνώμη[32] μὲν ὦ πάτερ τοι, ἰδόντι[33] γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν ἔχειν. Τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέληθέ σε τὸ ὄνειρον[34], ἐμέ τοι δίκαιόν ἐστι φράζειν. Φῄς τοι τὸ ὄνειρον ὑπὸ αἰχμῆς σιδηρέης φάναι ἐμὲ τελευτήσειν· ὑὸς δέ κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ σιδηρέη τὴν σὺ φοβέαι; Εἰ μὲν γὰρ ὑπὸ ὀδόντος τοι εἶπε τελευτήσειν με ἢ ἄλλου τευ ὅ τι

---

soluto causal). — [21] "Lo más... y lo más...". — [22] Plural por singular. — [23] Perífrasis: "me tienes apartado". — [24] Concesivo. — [25] Nosotros diríamos "con qué cara". — [26] "De qué". — [27] Estilo indirecto a través de γάρ. — [28] "Por lo menos en vida mía". — [29] "Sustraer(te a la profecía)". — [30] Cf. n. 11. — [31] "Que no existe". — [32] "(Es) excusable". — [33] Causal. — [34] "Pero (una cosa) que tú..., sino que (en ello) se te ha

τούτῳ ἔοικε, χρῆν [35] δή σε ποιέειν τὰ ποιέεις· νῦν δὲ [36] ὑπὸ αἰχμῆς. Ἐπείτε ὦν οὐ πρὸς ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, μέθες με». Ἀμείβεται Κροῖσος· «Ὦ παῖ, ἔστι τῇ [37] με νικᾷς γνώμην ἀποφαίνων περὶ τοῦ ἐνυπνίου· ὡς ὦν νενικημένος ὑπὸ σέο μεταγινώσκω μετίημί τέ σε ἰέναι ἐπὶ τὴν ἄγρην». Εἴπας δὲ ταῦτα ὁ Κροῖσος μεταπέμπεται τὸν Φρύγα Ἄδρηστον, ἀπικομένῳ δέ οἱ λέγει τάδε· «Ἄδρηστε, ἐγώ σε συμφορῇ πεπληγμένον ἀχάρι, τήν τοι οὐκ ὀνειδίζω, ἐκάθηρα καὶ οἰκίοισι ὑποδεξάμενος ἔχω [38] παρέχων πᾶσαν δαπάνην. Νῦν ὦν, ὀφείλεις γὰρ ἐμεῦ προποιήσαντος χρηστὰ ἐς σὲ [39] χρηστοῖσί με ἀμείβεσθαι, φύλακα παιδός σε τοῦ ἐμοῦ χρηίζω γενέσθαι ἐς ἄγρην ὁρμεομένου, μή τινες κατ' ὁδὸν κλῶπες κακοῦργοι ἐπὶ δηλήσι φανέωσι ὑμῖν. Πρὸς δὲ τούτῳ [40] καί σέ τοι χρεόν ἐστι ἰέναι ἔνθα ἀπολαμπρυνέαι [41] τοῖσι ἔργοισι. Πατρώιόν τε γάρ τοί ἐστι καὶ προσέτι ῥώμη ὑπάρχει». Ἀμείβεται ὁ Ἄδρηστος· «Ὦ βασιλεῦ, ἄλλως [42] μὲν ἔγωγε ἂν οὐκ ἤια ἐς ἄεθλον τοιόνδε. Οὔτε γὰρ συμφορῇ τοιῇδε κεχρημένον οἰκός ἐστι ἐς ὁμήλικας εὖ πρήσσοντας ἰέναι, οὔτε τὸ βούλεσθαι πάρα, πολλαχῇ [43] τε ἂν ἴσχον ἐμεωυτόν. Νῦν δέ, ἐπείτε σὺ σπεύδεις καὶ δεῖ τοι χαρίζεσθαι (ὀφείλω γάρ σε ἀμείβεσθαι χρηστοῖσι), ποιέειν εἰμὶ ἕτοιμος ταῦτα, παῖδά τε σόν, τὸν διακελεύεαι φυλάσσειν, ἀπήμονα τοῦ φυλάσσοντος εἵνεκεν [44] προσδόκα τοι ἀπονοστήσειν». Τοιούτοισι ἐπείτε οὗτος ἀμείψατο Κροῖσον, ἤισαν μετὰ ταῦτα ἐξηρτυμένοι λογάσι τε νεηνίῃσι καὶ κυσί. Ἀπικόμενοι δὲ ἐς τὸν Ὄλυμπον τὸ ὄρος ἐζήτεον τὸ θη-

---

escapado (la significación del) sueño". — 35 Imperfecto de conveniencia con prótasis irreal. — 36 "Pero en realidad (dijo que yo moriría)". — 37 "Hay (un aspecto) en el cual". — 38 Perífrasis: "tengo acogido" (cf. n. 23). — 39 Genitivo absoluto causal. — 40 Neutro. — 41 Futuro en oración de relativo con valor consecutivo-final. — 42 "En otras circunstancias". — 43 "Por muchos motivos". — 44 "(Al menos) en lo que

ρίον, εὑρόντες δὲ καὶ περιστάντες αὐτὸ κύκλῳ ἐσηκόντιζον. Ἔνθα δὴ ὁ ξεῖνος, οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον[45], καλεόμενος δὲ Ἄδρηστος[46], ἀκοντίζων τὸν ὗν τοῦ[47] μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός[47]. Ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξέπλησε τοῦ ὀνείρου τὴν φήμην· ἔθεε δέ τις ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός, ἀπικόμενος δὲ ἐς τὰς Σάρδις τήν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνέ οἱ. Ὁ δὲ Κροῖσος τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος μᾶλλόν τι ἐδεινολογέετο ὅτι μιν ἀπέκτεινε[48] τὸν αὐτὸς φόνου ἐκάθηρε. Περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς ἐκάλεε μὲν Δία καθάρσιον[49], μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου πεπονθὼς εἴη[50], ἐκάλεε δὲ ἐπίστιόν τε καὶ ἑταιρήιον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν, τὸν μὲν ἐπίστιον καλέων, διότι δὴ οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον φονέα τοῦ παιδὸς ἐλάνθανε[51] βόσκων, τὸν δὲ ἑταιρήιον, ὡς φύλακα[52] συμπέμψας αὐτὸν εὑρήκοι πολεμιώτατον[52]. Παρῆσαν δὲ μετὰ τοῦτο οἱ Λυδοὶ φέροντες τὸν νεκρόν, ὄπισθε δὲ εἵπετό οἱ ὁ φονεύς. Στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ παρεδίδου ἑωυτὸν Κροίσῳ προτείνων τὰς χεῖρας, ἐπικατασφάξαι μιν κελεύων τῷ νεκρῷ, λέγων τήν τε προτέρην ἑωυτοῦ συμφορήν, καὶ ὡς ἐπ' ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη[50], οὐδέ οἱ εἴη βιώσιμον[53]. Κροῖσος δὲ τούτων[54] ἀκούσας τόν τε Ἄδρηστον κατοικτίρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηίῳ το-

atañe al guardián". — 45 En activa καθαίρω llevaría dos acusativos, de los que el de cosa permanece aquí intacto. — 46 Alusión etimológica al nombre, que significa "incapaz de escapar (a su propio destino)". — 47 Genitivo con verbos de "acertar" y "no acertar". — 48 Tradúzcanse como pluscuamperfectos este verbo y el siguiente y aquí súplase un antecedente. — 49 Zeus, como καθάρσιος, ἐπίστιος y ἑταιρήιος, debió complacerse en la conducta de Creso para con Adrasto; por eso se lamenta el monarca ante él. — 50 Oblicuo; perfecto activo perifrástico. 51 "No se había dado cuenta de que estaba". — 52 Predicativo. — 53 "Y que para él no valía la pena vivir". — 54 Neutro; genitivo con verbo

σούτῳ, καὶ λέγει πρὸς αὐτόν· «Ἔχω, ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην [55], ἐπειδὴ σεωυτοῦ καταδικάζεις θάνατον. Εἶς δὲ οὐ σὺ ἐμοὶ τοῦδε τοῦ κακοῦ αἴτιος, εἰ μὴ ὅσον [56] ἀέκων ἐξεργάσαο, ἀλλὰ θεῶν κού τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα ἔσεσθαι». Κροῖσος μέν νυν ἔθαψε, ὡς οἰκὸς ἦν, τὸν ἑωυτοῦ παῖδα· Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφεοῦ γενόμενος, φονεὺς δὲ τοῦ υἱοῦ τοῦ καθήραντος, ἐπείτε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι τῶν [57] αὐτὸς ᾔδεε βαρυσυμφορώτατος, ἐπικατασφάζει τῷ τύμβῳ ἑωυτόν.

251.

Creso prepara la guerra

(I 46-49)

Κροῖσος δὲ ἐπὶ δύο ἔτεα ἐν πένθεϊ μεγάλῳ κατῆστο τοῦ παιδὸς ἐστερημένος· μετὰ δὲ ἡ Ἀστυάγεος τοῦ Κυαξάρεω ἡγεμονίη καταιρεθεῖσα [1] ὑπὸ Κύρου τοῦ Καμβύσεω καὶ τὰ τῶν Περσέων πρήγματα αὐξανόμενα [1] πένθεος μὲν Κροῖσον ἀπέπαυσε [2], ἐνέβησε [2] δὲ ἐς φροντίδα, εἴ κως δύναιτο, πρὶν μεγάλους γενέσθαι τοὺς Πέρσας, καταλαβεῖν [3] αὐτῶν αὐξανομένην [1] τὴν δύναμιν. Μετὰ [4] ὦν τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ, διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν ἐς Δελ-

---

de "oir". — [55] "Con respecto a ti todos los derechos". — [56] "Excepto en tanto en cuanto" (distinción jurídica, propia ya del siglo v, entre el homicidio voluntario y el involuntario). — [57] *Atracción*; en vez del acusativo.

251. [1] Como lat. *ab urbe condita* (en vez de abstracto). — [2] Factitivo. — [3] Aposición con respecto a φροντίδα. — [4] "Como consecuencia

φοὺς ἰέναι [5], τοὺς δὲ ἐς Ἄβας τὰς Φωκέων, τοὺς δὲ ἐς Δωδώνην· οἱ δέ τινες ἐπέμποντο παρά τε Ἀμφιάρεων καὶ παρὰ Τροφώνιον, οἱ δὲ τῆς Μιλησίης ἐς Βραγχίδας. Ταῦτα [6] μέν νυν τὰ Ἑλληνικὰ μαντήια ἐς τὰ ἀπέπεμψε [7] μαντευσόμενος [8] Κροῖσος, Λιβύης δὲ παρὰ Ἄμμωνα ἀπέστελλε ἄλλους χρησομένους [8]. Διέπεμπε δὲ πειρώμενος τῶν μαντηίων [9] ὅ τι φρονέοιεν, ὡς [8], εἰ φρονέοντα [10] τὴν ἀληθείην [11] εὑρεθείη, ἐπείρηταί σφεα δεύτερα [12] πέμπων εἰ ἐπιχειρέοι [13] ἐπὶ Πέρσας στρατεύεσθαι. Ἐντειλάμενος δὲ τοῖσι Λυδοῖσι τάδε [14] ἀπέπεμπε ἐς τὴν διάπειραν τῶν χρηστηρίων· ἀπ' ἧς ἂν ἡμέρης [15] ὁρμηθέωσι ἐκ Σαρδίων, ἀπὸ ταύτης [16] ἡμερολογέοντας τὸν λοιπὸν χρόνον ἑκατοστῇ ἡμέρῃ χρᾶσθαι τοῖσι χρηστηρίοισι, ἐπειρωτῶντας ὅ τι ποιέων τυγχάνοι ὁ Λυδῶν βασιλεὺς Κροῖσος ὁ Ἀλυάττεω· ἅσσα [17] δ' ἂν ἕκαστα [18] τῶν χρηστηρίων θεσπίσῃ, συγγραψαμένους ἀναφέρειν παρ' ἑωυτόν. Ὅ τι μέν νυν τὰ λοιπὰ τῶν χρηστηρίων ἐθέσπισε, οὐ λέγεται πρὸς οὐδαμῶν· ἐν δὲ Δελφοῖσι ὡς ἐσῆλθον τάχιστα [19] ἐς τὸ μέγαρον οἱ Λυδοὶ χρησόμενοι [8] τῷ θεῷ καὶ ἐπειρώτων τὸ ἐντεταλμένον, ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε·

Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης,
καὶ κωφοῦ [20] συνίημι καὶ [21] οὐ φωνεῦντος ἀκούω.
Ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν,
ᾗ χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπίεσται [22].

---

de". — [5] Epexegético. — [6] "(Son)". — [7] "(Mensajeros)". — [8] Final. — [9] Prolepsis. — [10] Completiva participial; se refiere a los oráculos. — [11] Depende de φρονέοντα. — [12] Adverbial. — [13] Oblicuo equivalente a subjuntivo deliberativo. — [14] "Lo siguiente". — [15] Atracción, en vez de ἀπὸ ταύτης τῆς ἡμέρης ἐν ᾗ. — [16] Epanaléptico. — [17] Acusativo. [18] Nominativo. — [19] "En cuanto entraron". — [20] "Al mudo": dos genitivos con verbos de "oír". — [21] "(Incluso)". — [22] Perfecto medio de

Ταῦτα οἱ Λυδοὶ θεσπισάσης τῆς Πυθίης συγγραψάμενοι οἴχοντο ἀπιόντες ἐς τὰς Σάρδις. Ὡς δὲ καὶ ὦλλοι οἱ περιπεμφθέντες παρῆσαν φέροντες τοὺς χρησμούς, ἐνθαῦτα ὁ Κροῖσος ἕκαστα ἀναπτύσσων ἐπώρα τῶν συγγραμμάτων[23]. Τῶν μὲν δὴ οὐδὲν προσίετό μιν· ὁ δὲ ὡς τὸ ἐκ Δελφῶν ἤκουσε, αὐτίκα προσεύχετό τε καὶ προσεδέξατο, νομίσας μοῦνον εἶναι μαντήιον τὸ ἐν Δελφοῖσι, ὅτι οἱ ἐξευρήκεε τὰ αὐτὸς ἐποίησε[24]. Ἐπείτε γὰρ δὴ διέπεμψε παρὰ τὰ χρηστήρια τοὺς θεοπρόπους, φυλάξας τὴν κυρίην τῶν ἡμερέων[25] ἐμηχανᾶτο τοιάδε· ἐπινοήσας τὰ ἦν[26] ἀμήχανον ἐξευρεῖν τε καὶ ἐπιφράσασθαι, χελώνην καὶ ἄρνα κατακόψας ὁμοῦ ἧψεε αὐτὸς ἐν λέβητι χαλκέῳ χάλκεον ἐπίθημα ἐπιθείς[27]. Τά μὲν δὴ ἐκ Δελφῶν οὕτω Κροίσῳ ἐχρήσθη· κατὰ δὲ[28] τὴν Ἀμφιάρεω τοῦ μαντηίου ἀπόκρισιν οὐκ ἔχω εἰπεῖν ὅ τι τοῖσι Λυδοῖσι ἔχρησε ποιήσασι[29] περὶ τὸ ἱρὸν τὰ νομιζόμενα[30] (οὐ γὰρ ὦν οὐδὲ[31] τοῦτο λέγεται) ἄλλο γε ἢ ὅτι καὶ τοῦτον ἐνόμισε μαντήιον ἀψευδὲς[32] κεκτῆσθαι.

252.

La victoria de Ciro

(I 84 - 88, 1)

Σάρδιες δὲ ἥλωσαν ὧδε· ἐπειδὴ τεσσερεσκαιδεκάτη ἐγένετο ἡμέρη πολιορκεομένῳ Κροίσῳ[1], Κῦρος τῇ στρατιῇ τῇ

ἐπιέννυμι, ático ἐφέννυμι: tiene por sujeto un ἥ sobrentendido y por complemento directo a χαλκόν. — 23 Partitivo dependiente de ἕκαστα. 24 Tradúzcase como pluscuamperfecto. — 25 "El fijado de entre los días". — 26 "Una cosa que fuera". — 27 Paronomasia. — 28 "Y en cuanto a". — 29 Temporal. — 30 "Los ritos acostumbrados". — 31 "Tampoco". — 32 Predicativo.

ἑωυτοῦ διαπέμψας ἱππέας προεῖπε τῷ πρώτῳ ἐπιβάντι τοῦ τείχεος δῶρα δώσειν. Μετὰ δὲ τοῦτο πειρησαμένης τῆς στρατιῆς, ὡς οὐ προεχώρεε, ἐνθαῦτα τῶν ἄλλων πεπαυμένων ἀνὴρ Μάρδος ἐπειρᾶτο προσβαίνων[2], τῷ οὔνομα ἦν Ὑροιάδης, κατὰ τοῦτο τῆς ἀκροπόλιος τῇ[3] οὐδεὶς ἐτέτακτο φύλακος[4]· οὐ γὰρ ἦν δεινὸν[5] κατὰ τοῦτο μὴ[5] ἁλῷ κοτε. Ἀπότομός τε γάρ ἐστι ταύτῃ[6] ἡ ἀκρόπολις καὶ ἄμαχος· τῇ οὐδὲ Μήλης ὁ πρότερον[7] βασιλεὺς Σαρδίων μούνῃ[8] οὐ περιήνεικε τὸν λέοντα[9]... Τελμησσέων δικασάντων ὡς περιενειχθέντος τοῦ λέοντος[10] τὸ τεῖχος[11] ἔσονται Σάρδιες ἀνάλωτοι. Ὁ δὲ Μήλης κατὰ τὸ ἄλλο τεῖχος περιενείκας, τῇ[3] ἦν ἐπίμαχον, κατηλόγησε τοῦτο ὡς ἐὸν ἄμαχόν τε καὶ ἀπότομον· ἔστι δὲ πρὸς[12] τοῦ Τμώλου τετραμμένον τοῦτο τῆς πόλιος[13]. Ὁ ὦν δὴ Ὑροιάδης οὗτος ὁ Μάρδος ἰδὼν τῇ προτεραίῃ τῶν τινα[14] Λυδῶν κατὰ τοῦτο τῆς ἀκροπόλιος καταβάντα ἐπὶ κυνέην ἄνωθεν κατακυλισθεῖσαν καὶ ἀνελόμενον ἐφράσθη καὶ ἐς θυμὸν ἐβάλετο. Τότε δὲ δὴ αὐτός τε ἀναβεβήκεε[15] καὶ κατ' αὐτὸν ἄλλοι Περσέων ἀνέβαινον· προσβάντων δὲ συχνῶν οὕτω δὴ Σάρδιές τε ἡλώκεσαν[16] καὶ πᾶν τὸ ἄστυ ἐπορθέετο. Κατ' αὐτὸν δὲ[17] Κροῖσον τάδε[18]

---

252. [1] Dativo de relación para indicar el tiempo que para una persona ha transcurrido mientras hacía o experimentaba algo. — [2] "A subir". — [3] "Por donde". — [4] Nominativo predicativo. — [5] "Había temor de que". — [6] "Por allí". — [7] Adjetivado. — [8] Lit. "por el cual lugar de Sardes como único tampoco". — [9] El león estaba consagrado a Sandón, el dios solar lidio, identificado por los griegos con Heracles. Al pasear a este animal en torno al recinto de la ciudad, quedaba ésta simbólicamente consagrada a aquella divinidad. — [10] Genitivo absoluto condicional. — [11] Depende de περι-. — [12] "Hacia". — [13] Igual a ἀκροπόλιος. — [14] Orden de palabras arcaico: en vez de τινὰ τῶν. — [15] Pluscuamperfecto, porque se nos sitúa ante la escena en que él ya está arriba, precediendo a los demás. — [16] Íd. ante la escena del saqueo posterior a la toma. — [17] "Y en cuanto al propio". — [18] "Lo siguiente".

ἐγίνετο. Ἦν οἱ[19] παῖς, τοῦ καὶ πρότερον ἐπεμνήσθην, τὰ μὲν ἄλλα ἐπιεικής, ἄφωνος δέ. Ἐν τῇ ὦν παρελθούσῃ εὐεστοῖ ὁ Κροῖσος τὸ πᾶν ἐς αὐτὸν ἐπεποιήκεε ἄλλα τε ἐπιφραζόμενος καὶ δὴ καὶ ἐς Δελφοὺς περὶ αὐτοῦ ἐπεπόμφεε[20] χρησομένους. Ἡ δὲ Πυθίη οἱ εἶπε τάδε·

Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
μὴ βούλευ πολύευκτον ἰὴν ἀνὰ δώματ᾽ ἀκούειν
παιδὸς φθεγγομένου. Τὸ δέ σοι πολὺ λώιον ἀμφὶς
ἔμμεναι[21]· αὐδήσει γὰρ ἐν ἤματι πρῶτον[22] ἀνόλβῳ.

Ἁλισκομένου δὴ τοῦ τείχεος, ἤιε γὰρ[23] τῶν τις[24] *Περσέων* ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων[25], Κροῖσος μέν νυν ὁρέων ἐπιόντα ὑπὸ τῆς παρεούσης συμφορῆς παρημελήκεε, οὐδέ τί οἱ διέφερε πληγέντι[26] ἀποθανεῖν· ὁ δὲ παῖς οὗτος ὁ ἄφωνος, ὡς εἶδε ἐπιόντα τὸν Πέρσην, ὑπὸ δέους τε καὶ κακοῦ ἔρρηξε φωνήν[27], εἶπε δέ· «Ὤνθρωπε, μὴ κτεῖνε Κροῖσον». Οὗτος μὲν δὴ τοῦτο πρῶτον[28] ἐφθέγξατο, μετὰ δὲ τοῦτο ἤδη ἐφώνεε τὸν πάντα χρόνον τῆς ζόης.

Οἱ δὲ Πέρσαι τάς τε δὴ Σάρδις ἔσχον καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτεα τεσσερεσκαίδεκα καὶ τεσσερεσκαίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ χρηστήριόν[29] τε καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν. Λαβόντες δὲ αὐτὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦρον. Ὁ δὲ συννήσας πυρὴν μεγάλην ἀνεβίβασε ἐπ᾽ αὐτὴν τόν Κροῖσόν τε ἐν πέδῃσι

---

19 Posesivo. — 20 Anacoluto: sería de esperar πεπομφώς; súplase a continuación "a unos mensajeros" ante el participio de valor final. — 21 "Que quede aparte", esto es, "que no se produzca". — 22 "Por vez primera". — 23 "Como quiera que". — 24 Cf. n. 14. — 25 Final con matiz subjetivo. — 26 Dativo por atracción, del οἱ anterior. — 27 "Rompió a hablar". — 28 Predicativo. — 29 A Creso le había predicho un oráculo que, si atacaba a los persas, destruiría un gran imperio, pero sin precisar

δεδεμένον καὶ δὶς ἑπτὰ[30] Λυδῶν παρ' αὐτὸν παῖδας[31], ἐν νόῳ ἔχων εἴτε δὴ ἀκροθίνια[28] ταῦτα καταγιεῖν θεῶν ὅτεῳ δή[32], εἴτε καὶ εὐχὴν ἐπιτελέσαι θέλων, εἴτε καὶ πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρήν, βουλόμενος εἰδέναι[33] εἴ τίς μιν δαιμόνων ῥύσεται τοῦ μὴ[34] ζῶντα κατακαυθῆναι. Τὸν μὲν δὴ ποιέειν[35] ταῦτα, τῷ δὲ Κροίσῳ ἑστεῶτι ἐπὶ τῆς πυρῆς ἐσελθεῖν[36], καίπερ ἐν κακῷ ἐόντι τοσούτῳ, τὸ τοῦ Σόλωνος, ὥς οἱ[37] εἴη σὺν θεῷ εἰρημένον, τὸ μηδένα εἶναι τῶν ζωόντων ὄλβιον· ὡς δὲ ἄρα μιν προσστῆναι[38] τοῦτο, ἀνενεικάμενόν[39] τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίης[40] ἐς τρὶς ὀνομάσαι «Σόλων». Καὶ τὸν Κῦρον ἀκούσαντα κελεῦσαι τοὺς ἑρμηνέας ἐπειρέσθαι τὸν Κροῖσον τίνα τοῦτον[41] ἐπικαλέοιτο, καὶ τοὺς[42] προσελθόντας ἐπειρωτᾶν. Κροῖσον δὲ ἕως μὲν σιγὴν ἔχειν εἰρωτώμενον, μετὰ δέ, ὡς ἠναγκάζετο, εἰπεῖν· «Τὸν[43] ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρημάτων[44] ἐς λόγους ἐλθεῖν». Ὡς δέ σφι ἄσημα ἔφραζε, πάλιν ἐπειρώτων τὰ λεγόμενα. Λιπαρεόντων δὲ αὐτῶν καὶ ὄχλον παρε-

---

cuál. — [30] "Siete parejas". La perífrasis en vez del numeral se explica por la importancia religiosa del número siete y la solemnidad de la ocasión; o tal vez se trate de parejas de distinto sexo. — [31] Expresión poética en vez de Λυδούς. — [32] "A cualquiera". — [33] Construcción fuertemente anacolútica: se esperaría ὁ δὲ συννήσας... ἀνεβίβασε... ἐν νόῳ ἔχων εἴτε... καταγιεῖν... εἴτε... ἐπιτελέσαι... εἴτε... εἰδέναι... Así θέλων resulta expletivo y ἀνεβίβασε ἐπὶ τὴν πυρήν también; y τοῦδε εἵνεκεν sólo sirve para anticipar a βουλόμενος κτλ. [34] En español no se traduce. — [35] Empieza el estilo indirecto como si precediera λέγουσι. — [36] "Se le vino a las mientes". — [37] A Creso. — [38] "Se le ocurrió": infinitivo del estilo indirecto en oración temporal y a través de puntuación fuerte. — [39] "Suspirando". — [40] "Después de un largo silencio". — [41] "Quién (era) aquel (al que)". — [42] Pronombre. — [43] Relativo sin antecedente, sujeto de ἐλθεῖν. — [44] Genitivo de precio.

χόντων ἔλεγε δὴ ὡς ἦλθε ἀρχὴν[45] ὁ Σόλων ἐὼν Ἀθηναῖος, καὶ θεησάμενος πάντα τὸν ἑωυτοῦ ὄλβον ἀποφλαυρίσειε (οἷα δὴ εἴπας[46]), ὥς τε αὐτῷ[37] πάντα ἀποβεβήκοι τῇ[47] περ ἐκεῖνος εἶπε, οὐδέν τι μᾶλλον ἐς ἑωυτὸν λέγων ἢ οὐκ ἐς ἅπαν[48] τὸ ἀνθρώπινον καὶ μάλιστα τοὺς παρὰ σφίσι αὐτοῖσι[49] ὀλβίους δοκέοντας εἶναι. Τὸν μὲν Κροῖσον ταῦτα ἀπηγέεσθαι[50], τῆς δὲ πυρῆς ἤδη ἁμμένης καίεσθαι τὰ περιέσχατα. Καὶ τὸν Κῦρον ἀκούσαντα τῶν ἑρμηνέων τὰ Κροῖσος εἶπε, μεταγνόντα τε καὶ ἐννώσαντα ὅτι καὶ αὐτὸς ἄνθρωπος ἐὼν ἄλλον ἄνθρωπον, γενόμενον ἑωυτοῦ εὐδαιμονίῃ οὐκ ἐλάσσω, ζῶντα πυρὶ διδοίη, πρός τε τούτοισι δείσαντα τὴν τίσιν καὶ ἐπιλεξάμενον ὡς οὐδὲν εἴη τῶν ἐν ἀνθρώποισι ἀσφαλέως ἔχον[51], κελεύειν σβεννύναι τὴν ταχίστην[52] τὸ καιόμενον πῦρ καὶ καταβιβάζειν Κροῖσόν τε καὶ τοὺς μετὰ Κροίσου. Καὶ τοὺς[42] πειρωμένους οὐ δύνασθαι ἔτι τοῦ πυρὸς ἐπικρατῆσαι.

Ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν Κροῖσον μαθόντα τὴν Κύρου μετάγνωσιν, ὡς ὥρα πάντα[53] μὲν ἄνδρα σβεννύντα[54] τὸ πῦρ, δυναμένους[55] δὲ οὐκέτι καταλαβεῖν, ἐπιβώσασθαι τὸν Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ κεχαρισμένον[56] ἐξ αὐτοῦ[57] ἐδωρήθη, παραστῆναι καὶ ῥύσασθαί μιν[37] ἐκ τοῦ παρεόντος κακοῦ. Τὸν μὲν δακρύοντα ἐπικαλέεσθαι τὸν θεόν, ἐκ δὲ αἰθρίης τε καὶ νηνεμίης συνδραμεῖν ἐξαπίνης

---

45 "Antaño". — 46 "Diciendo tal y cual cosa"; lit. "diciendo (tales cosas) cuales (dijo)". — 47 "Como". — 48 "No refiriéndose en mayor grado a él (a Creso) que a todo". — 49 "En su propio concepto". — 50 Vuelta al estilo indirecto. — 51 "Que fuera firme". — 52 Adverbial. — 53 Masculino. — 54 Conativo. — 55 Construcción *ad sensum*. — 56 "Si algo grato para él (para Apolo)": fórmula clásica en las plegarias dirigidas a los dioses; Creso era famoso por la generosidad y piedad de sus dones. — 57 "Por parte de él (de Creso)". — 58 Partitivo. — 59 Apolo, que le dio oráculos ambiguos.

νέφεα καὶ χειμῶνά τε καταρραγῆναι καὶ ὗσαι ὕδατι λαβροτάτῳ, κατασβεσθῆναί τε τὴν πυρήν. Οὕτω δὴ μαθόντα τὸν Κῦρον ὡς εἴη ὁ Κροῖσος καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγαθός, καταβιβάσαντα αὐτὸν ἀπὸ τῆς πυρῆς εἰρέσθαι τάδε· «Κροῖσε, τίς σε ἀνθρώπων [58] ἀνέγνωσε ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον πολέμιον [28] ἀντὶ φίλου ἐμοὶ καταστῆναι;» Ὁ δὲ εἶπε· «Ὦ βασιλεῦ, ἐγὼ ταῦτα ἔπρηξα τῇ σῇ μὲν εὐδαιμονίῃ, τῇ ἐμεωυτοῦ δὲ κακοδαιμονίῃ. Αἴτιος δὲ τούτων ἐγένετο ὁ Ἑλλήνων θεός [59] ἐπάρας ἐμὲ στρατεύεσθαι. Οὐδεὶς γὰρ οὕτω ἀνόητός ἐστι ὅστις πόλεμον πρὸ εἰρήνης αἱρέεται· ἐν μὲν γὰρ τῇ οἱ παῖδες τοὺς πατέρας θάπτουσι, ἐν δὲ τῷ οἱ πατέρες τοὺς παῖδας. Ἀλλὰ ταῦτα δαίμονί κου φίλον ἦν οὕτω γενέσθαι». Ὁ μὲν ταῦτα ἔλεγε, Κῦρος δὲ αὐτὸν λύσας κατεῖσέ τε ἐγγὺς ἑωυτοῦ καὶ κάρτα ἐν πολλῇ προμηθίῃ εἶχε, ἀπεθώμαζέ τε ὁρέων καὶ αὐτὸς καὶ οἱ περὶ ἐκεῖνον ἐόντες πάντες.

253.

El anillo de Polícrates

(III 39-43)

Καμβύσεω δὲ ἐπ' Αἴγυπτον στρατευομένου ἐποιήσαντο καὶ Λακεδαιμόνιοι στρατηίην ἐπὶ Σάμον τε καὶ Πολυκράτεα τὸν Αἰάκεος, ὃς ἔσχε [1] Σάμον ἐπαναστάς [2]. Καὶ τὰ μὲν πρῶτα [3] τριχῇ δασάμενος τὴν πόλιν τοῖσι ἀδελφεοῖσι Πανταγνώτῳ καὶ Συλοσῶντι διένειμε [4], μετά [5] δὲ τὸν μὲν αὐτῶν ἀποκτείνας, τὸν δὲ νεώτερον Συλοσῶντα ἐξελάσας ἔσχε [1] πᾶσαν Σάμον· ἔχων [6] δὲ ξεινίην [7] Ἀμάσι τῷ Αἰγύπτου βασι-

---

253. [1] Ingresivo. — [2] "En un alzamiento". — [3] Adverbial. — [4] "(Partes de ella)". — [5] Adverbio. — [6] "(La isla)". — [7] Hospitalidad

